Καὶ ὁ Γαληνὸς ποιεῖται χρῆσιν τοῦ *ὁμόσε χωρεῖν* καὶ *ὁμόσε χωρῆσαι*, οἷον *ὁμόσε χωρεῖν* (Τόμ. Β', σελ. 43 καὶ Τόμ. Ζ', σελ. 792 καὶ Τόμ. Ι', σελ. 815), *ὁμόσε χωρεῖ* (Τόμ. Β', σελ. 46-7 καὶ Τόμ. Ε', σελ. 338), *ὁμόσε χωροῦσιν* (Τόμ. Α', σελ. 522), *ὁμόσε χωροῦντες* (Τόμ. Α', σελ. 76), *ὁμόσε χωρῆσαι* (Τόμ. Β', σελ. 39), *ὁμόσε χωρήσας* (Τόμ. Β', σελ. 221). Ἐλέχθη δ' ὑπὸ τοῦ Γαληνοῦ καὶ *ὁμόσε τοῖς δεινοῖς ἰέναι* (Τόμ. Ι', σελ. 719) καὶ *ἐλθεῖν ὁμόσε* (Τόμ. Γ', σελ. 3). Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Ὠριγένει *ὁμόσε χωρεῖν* (Τόμ. Γ', σελ. 62 καὶ Τόμ. Δ', σελ. 3 καὶ Τόμ. ΙΗ', σελ. 120 καὶ 123 καὶ Τόμ. ΙΘ', σελ. 137) καὶ *ὁμόσε χωροῦντα* (Τόμ. Δ', σελ. 2) καὶ *ὁμόσε χωρῆσαι* (Τόμ. ΙΗ', σελ. 63) καὶ *ὁμόσε ἐχώρησε* (Τόμ. ΙΗ', σελ. 166) καὶ *ὁμόσε χωρήσας* (Τόμ. ΙΘ', σελ. 118) καὶ *ὁμόσε χωρήσωμεν* (Τόμ. Δ', σελ. 2).

Ἐν τέλει παρατηροῦμεν ὅτι ἐν τῷ κατὰ Διονυσοδώρου Λόγῳ τοῦ Δημοσθένους εἶνε εἰλημμένον τὸ *ὁμόσε πορεύεσθαι* ἐπὶ τῆς ἐννοίας τοῦ *συμφέρεσθαι* ἢ *συγχωρεῖν* σελ. 1287, 14 «ἡμεῖς μὲν ταῦτα *συνεχωροῦμεν*—οὗτος δ' ὡς ἑώρα ἡμᾶς *ὁμόσε πορευομένους*, κτέ.». Ὁ Κ. Φ. Ἑρμαννὸς ἐν τῇ ἐκδόσει τοῦ πῶς δεῖ ἱστορίαν συγγράφειν βιβλίου τοῦ Λουκιανοῦ σελ. 189 λέγει «ut *Demosth. adv. Dionys. p.* 1287. 18, ὁμόσε πορεύεσθαι esse videtur *concordiae operam dare*» (Ἴδε καὶ

Σχαιφῆρον ἐν *Appar. Crit. et Exeg. ad Demosth.* Τόμ. Ε', σελ. 415. Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Ε', σελ. 1986).

Ἐκ τοῦ *ὁμός* παρήχθη καὶ τὸ ῥῆμα *ὁμοῦμαι*, οὗ ὁ ἀόριστος *ὁμωθῆναι* ἀπαντᾷ ἐν Ἰλιάδος Ξ, στίχ. 209 «εἰ—εἰς εὐνὴν ἀνέσαιμι *ὁμωθῆναι* φιλότητι». Ἰσοδυναμεῖ δὲ τὸ *ὁμωθῆναι* τῷ *ὁμόσε ἐλθεῖν*, ἤτοι εἰς ἓν ἢ ταὐτὸν ἐλθεῖν, ὡς ἀποδίδοται ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Β', σελ. 43, 31 «Ὅτι τὸ ὁμωθῆναι οὐκ ἔστιν ὁμοιωθῆναι ἀλλ' *ὁμόσε ἐλθεῖν* φιλότητι. Δασυντέον δὲ τὸ Ο, ὡς χρυσωθῆναι δὲ ἀναγνωστέον». Πρβ. καὶ Τόμ. Δ', σελ. 52,34 «Τὸ δὲ ὁμωθῆναι *εἰς ταὐτὸ συνελθεῖν*». Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 978,40 «Ἐὰν ἐκείνους πείσασα φιλότητι *ὁμωθῆναι* ποιήσῃ, τουτέστιν *ὁμοῦ γενέσθαι καὶ ὅμοια φρονῆσαι* τήν τε Τηθὺν καὶ τὸν Ὠκεανόν» καὶ μετ' ὀλίγα «Διὰ τοῦτο θέλει ἀνταποδοῦναι χάριτας διὰ τοῦ ποιῆσαι *ὁμωθῆναι* αὐτούς, τουτέστιν *ὁμοῦ*, ὡς εἴρηται, *γενέσθαι καὶ ἑνωθῆναι*, ἐκ τοῦ *ὁμῶ ὁμώσω* ῥήματος· ὅπερ οἱ παλαιοὶ ἀποδεχόμενοί φασιν ὡς οὐκ ἄν τις εἴποι τὴν ἕνωσιν καιριώτερον ἐν λέξει μιᾷ. Ἐν ἄλλοις δὲ τοῦτο περιφράζων ὁ ποιητής φησι καὶ ὁμὸν λέχος εἰσαναβαίνοι». Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «Ὁμωθῆναι: *εἰς ὁμόνοιαν ἐλθεῖν*». Τοῦ Ὁμηρικοῦ χωρίου ποιεῖται μνείαν καὶ ὁ Χοιροβοσκὸς ἐν τοῖς Ἐπιμερισμοῖς τοῦ Ψαλτηρίου σελ. 176, 12 «Καὶ ἕτερον *ὁμῶσαι*, καὶ γράφεται τὸ ΜΩ μέγα, τὸ *εἰς ὁμόνοιαν καὶ φιλίαν ἀγαγεῖν*. Καὶ Ὅμηρος· εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι». Εὑρέθη δὲ καὶ μέλλων *ὁμώσεται* ἐν τοῖς Θηριακοῖς τοῦ Νικάνδρου στίχ. 334 «ναὶ μὴν διψάδος εἶδος *ὁμώσεται* αἰὲν ἐχίδνῃ».

Εἶνε δὲ καὶ ὀνόματα ἐκ τοῦ *ὁμός* ἐσχηματισμένα, τὸ *ὅμαδος*, ἐξ οὗ τὸ *ὁμαδέω*, καὶ τὸ *ὁμοῖος*-*ὅμοιος*, οὗ παράγωγα τὸ *ὁμοιῶ* (*ἀφομοιῶ*, *ἐξομοιῶ*, κτλ.) καὶ *ὁμοιάζω*, καὶ τὸ *ὁμαλός* (ἢ *ὁμαλής*), ὅθεν τὸ *ὁμαλίζω* καὶ *ὁμαλύνω*.

Περὶ τοῦ *ὅμαδος* ἐποιήσατο λόγον ὁ Λοβέκκιος ἐν τοῖς Προλεγομένοις σελ. 349 (Πρβ. καὶ Δοιδερλῖνον ἐν *Ὁμηρ. Γλωσσ.* § 1060). Ἐν τοῖς εἰς Σοφοκλέα Σχολίοις Αἴ. 1202 γίνεται ἐξήγησις τοῦ *ὄτοβον* διὰ τοῦ *ὅμαδον*, *ἦχον*. Γελοία εἶνε γνώμη, καθ' ἣν τὸ *ὅμαδος* συνέστη ἐκ τοῦ *ὁμοῦ* καὶ τοῦ *αὐδή* ἢ *αὐδῶ*. Εὐστάθ. σελ. 180, 9 «Ὅμαδος δὲ ἡ *ὁμοῦ αὐδή*, ὁ κοινὸς θόρυβος, ὅπερ καὶ ἀλαλητὸς λέγεται, οἱονεὶ ὁμολαλητός» (Πρβ. καὶ σελ. 682, 39 καὶ σελ. 1297,

27). Φώτ. Λεξ. σελ. 330, 19 «Ὅμαδος: θόρυβος. Ἀπὸ τοῦ *ὁμοῦ αὐδᾶν*» (Ἴδε καὶ Ἀπολλ. Σοφιστ. σελ. 120, 18 καὶ Ἐτυμ. Μέγ. σελ. 553, 53 καὶ σελ. 623, 18). Εἶνε δὲ τὸ προκείμενον ὄνομα ποιητικὸν ἀπαντῶν καὶ ἐν τῇ Πολιτείᾳ τοῦ Πλάτωνος σελ. 364 ε' «βίβλων δὲ *ὅμαδον* παρέχονται Μουσαίου καὶ Ὀρφέως». Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Δαμασκίου παρὰ Φωτ. Βιβλιοθ. σελ. 337, 37 «καὶ τῶν βιβλίων τὸν *ὅμαδον* παρῃτεῖτο» καὶ ὑπὸ τοῦ Θεμιστίου σελ. 32 β' «βιβλίων *ὅμαδος* ὅλος ἐπ' ἀλλήλοις συντεταγμένων» καὶ σελ. 133 δ' «τὴν δὲ *ὁμάδου* γέμουσαν συμμιγοῦς ἐπὶ γῆς ἐρριμμένων τῶν ἱκετῶν». Πρβ. καὶ σελ. 169 γ' «ἔνι δὲ ἄλλος *ὅμαδος* πολλῶν καὶ πολυκεφάλων θρεμμάτων». Κεῖται δὲ καὶ ἐν τοῖς τοῦ Φιλοστράτου σελ. 803 «δεινὰ γὰρ τὰ τοιαυτὶ θηρία ὅτι ἐκ πλείστου κατακούειν τοῦ *ὁμάδου*». Ἴδε καὶ Λοβέκκιον ἐν *Ἀγλαοφ*. σελ. 643. Ὑπάρχει καὶ ὄνομα *ὁμάς*, ἀλλ' ἐκ μόνου τοῦ παρηκμακότος ἑλληνισμοῦ ἔχομεν αὐτοῦ μαρτύρια. Ὁ Ε. Α. Σοφοκλῆς ἐν τῷ Ἑλληνικῷ Λεξικῷ σελ. 803 ἐμνημόνευσε καὶ ἐπίρρημα *ὁμαδικῶς* ἐξ Ἀναστασίου τοῦ Σιναΐτου. Εὕρομεν δ' αὐτὸ καὶ ἐν τοῖς Βασιλικοῖς Τόμ. Ε', σελ. 473 «πλὴν μὴ *ὁμαδικῶς* ἀλλὰ καθέν (καθ' ἕν)».

Περὶ τοῦ προπερισπωμένου τύπου *ὁμοῖος* γράφει ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 569, 18 «Τὸ δὲ *ὁμοῖον* ὅτι ἀναλόγως προπερισπᾶται καὶ οὐ παρὰ τύπον κατὰ τὸ προπαροξυτονούμενον *ὅμοιον* πολλαχοῦ δηλοῦται, ὥσπερ καὶ τὸ *ὁμοῖος* ἔν τε ἄλλοις καὶ ἐν Ὀδυσσείᾳ, ὃ πάντως ἀναλογώτερον τοῦ *ὅμοιος*» καὶ σελ. 1817, 15 «Ὁ δὲ *ὁμοῖος* ἀναλόγως προπερισπᾶται ἐκ τοῦ *ὁμός* κατὰ τὸ *παντός παντοῖος*, *ἄλλος ἀλλοῖος* καὶ τὰ ὅμοια· τὸ μέντοι *ὅμοιος* ὕστερον οἱ Ἀττικοὶ (προ)παρώξυναν». Πρβ. καὶ σελ. 205, 46 «Δοκεῖ δέ, φησί (Διονύσιος Αἴλιος), τῶν παλαιῶν Ἀττικῶν εἶναι περισπᾶν (προπερισπᾶν) τὰ τοιαῦτα, *ὁμοῖον*, *ἑτοῖμον*, *γελοῖον*» καὶ σελ. 531, 37 καὶ σελ. 799, 40. Κεῖται δὲ καὶ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Β', σελ. 59, 1 «Τὸ μὲν *ὁμοῖος* ὡς ἀλλοῖος ἀναγνωστέον· τὸ γὰρ προπαροξύνειν μεταγενεστέρων ἐστὶν Ἀττικῶν». Ἴδε καὶ Ἀπολλ. Ἀλεξ. περὶ Ἀντων. σελ. 63 β' καὶ Βεκκ. Ἀν. σελ. 678, 15 καὶ Γρηγ. Κορ. σελ. 23 καὶ Ἐτυμ. Μέγ. σελ. 224, 40 καὶ Ἡρῳδιαν. Λεντζ. Τόμ. Α', σελ. 137, 13 (Πρβ. καὶ Κρευζῆρον εἰς *Πλωτ. περὶ τοῦ Καλ.* σελ. 381 κἑξ. καὶ Οὐϊνῆρον ἐν *Γραμματ. τῆς Καιν. Διαθ.* σελ. 50 ἐκδ. ς').

Τὸ *ὁμοιάζω* ἰσοδυναμεῖ μὲν τῷ *ὅμοιός εἰμι*, εἶνε δ' ἄγνωστον τοῖς παλαιοῖς Ἕλλησιν, ὡς καὶ τὸ *παρομοιάζω*. Ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ κεφ. ΚΓ', 27 διττὴ φέρεται γραφή, «ὅτι *παρομοιάζετε* τάφοις κεκονιαμένοις» καὶ *ὁμοιάζετε*. Τοῦ ἁπλοῦ ῥήματος ἐγένετο χρῆσις ἐν τῷ κατὰ Μάρκον Εὐαγγελίῳ κεφ. ΙΔ', 70 «καὶ γὰρ Γαλιλαῖος εἶ καὶ ἡ λαλιά σου *ὁμοιάζει*». Τοῦ *παρομοιάζω* μαρτύρια μνημονεύονται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου. Ἐλέχθη δὲ καὶ *προσομοιάζω* ἐν τοῖς Γεωπονικοῖς βιβλ. Β', κα', 6 «ἡ ἀνθρωπεία (κόπρος) *προσομοιάζουσά* πως ταύτῃ». Ἐν τοῖς τοῦ Καλλικρατίδου παρὰ Στοβ. Ἀνθ. Ο', 11 κεῖται «τὸ μὲν κατὰ περισσὰς χώρας συντάσσον *ἐξομοιάζει* αὐτῷ», ὅπερ ἐπὶ μεταβατικῆς ἐννοίας ἐκλαμβάνεται. Σημειωτέον δ' ὅτι παρὰ Στεφάνῳ τῷ Βυζαντίῳ ἐξέδωκεν ὁ Μεινέκιος σελ. 120, 13 «ἄρκτῳ γὰρ ὑφ' Ἥρας αὐτὴν *ὁμοιασθῆναι*» ἀντὶ τοῦ ἐν τοῖς κώδιξιν *ὀνομασθῆναι*, ὃ ὑπ' ἄλλων εὐλογώτερον ἴσως μετετυπώθη εἰς τὸ *ὁμοιωθῆναι*.

Ἐν τοῖς Ὁμηρικοῖς ἔπεσι πρὸς τῷ τύπῳ *ὁμοῖος* ἀπαντᾷ καὶ ὁ τετρασύλλαβος *ὁμοίιος*, οἷον *θάνατος ὁμοίιος* καὶ *ὁμοίιος πόλεμος* καὶ *γῆρας ὁμοίιον* καὶ *νεῖκος ὁμοίιον*. Εὑρίσκεται δὲ καὶ ἐν ἄλλοις ποιήμασιν ὁ τύπος οὗτος, περὶ οὗ ἐγένετο λόγος ὑπὸ τοῦ Λοβεκκίου ἐν τοῖς Στοιχείοις (Τόμ. Β', σελ. 140. Πρβ. καὶ Stud. Curt. Τόμ. Β', σελ. 186 καὶ Τόμ. Ϛ', σελ. 203). Ὁ Ναύκιος νομίζει ὅτι ὁ Ὅμηρος εἶπεν *ὀλοίιος* καὶ *ὀλοίιον*, τὸ δὲ διὰ τοῦ Μ γεγραμμένον *ὁμοίιος* καὶ *ὁμοίιον* εἶνε πλημμελὴς αὐτοῦ ἀνάγνωσις (ἐν ***Mél. Gréco-Rom.*** Τόμ. Γ', σελ. 259 κἑξ. καὶ Τόμ. Δ', σελ. 90). Τῷ Ναυκίῳ ἠναντιώθη σφόδρ' ὁ Ludwich συνηγορῶν τῇ παραδεδομένῃ γραφῇ· ἀντεῖπε δὲ πρὸς αὐτὸν ὁ Ναύκιος ὑπερμαχῶν ἧς ἀπεφήνατο γνώμης (ἐν ***Mél. Gréco-Rom.*** Τόμ. Δ', σελ. 468 κἑξ. Πρβ. καὶ Ludwich ἐν ***Arist. Homer. Textkr.*** Τόμ. Β', σελ. 54 καὶ σελ. 451 κἑξ.). Ἐν τῷ εἰς Ἀφροδίτην Ὁμηρικῷ Ὕμνῳ φέρεται στίχ. 245:

> νῦν δὲ σὲ μὲν τάχα γῆρας ὁ μ ο ί ι ο ν ἀμφικαλύψει
> νηλειές, τό τ' ἔπειτα παρίσταται ἀνθρώποισιν,
> ο ὐ λ ό μ ε ν ο ν, καματηρόν, ὅ τε στυγέουσι θεοί περ.

Οὐδαμῶς δέ, νομίζομεν, ἁρμόζει τῷ χωρίῳ τούτῳ ἡ γραφὴ *ὀλοίιον*, ἣν ἠθέλησε ν' ἀποκαταστήσῃ (ἐν ***Mél. Gréco-Rom.*** Τόμ. Δ', σελ. 90) ὁ ἐντρεχέστατος ἀληθῶς καὶ κριτικώτατος ἀνήρ. Ἀπαντᾷ δὲ καὶ

ἐν τοῖς ὑπὸ τοῦ Καιβελίου ἐκδεδομένοις Ἐπιγράμμασι 444, 6 «ὁππότεν αἶσα ἔλθῃσιν *ὁμοιίου* θανάτοιο» καὶ 307, 2 «*ὁμοιείου* τευξόμενος θανάτου», περὶ οὗ ποιεῖται ὁ Καιβέλιος τὴν παρατήρησιν τήνδε· «ὁμοίιον θάνατον ab Homero mutuatus est mutato tamen significatu». Τὸ πρῶτον χωρίον ἐμνημόνευσε καὶ ὁ Ναύκιος (ἐν *Mél. Gréco-Rom.* Τόμ. Δ', σελ. 90-1).

Τὸ ἐπίθετον *ὁμαλός*, ἀνθ' οὗ ἐν τῇ κοινῇ ἡμῶν λαλιᾷ λέγεται *ἴσος*, ἀντιδιαστέλλεται μὲν τῷ *τραχύς*, εὑρίσκεται δ' ἐνίοτε τῷ *λεῖος* συνημμένον. Μετὰ τοῦ ἀποφατικοῦ καλουμένου Α συντεθὲν τὸ *ὁμαλός* ἐγένετο *ἀνώμαλος*, τοῦ Ο εἰς Ω τραπέντος, ὅπερ συνέβη καὶ ἐν ἄλλοις πολλοῖς. Πρὸς τῷ τύπῳ *ὁμαλός* ὑπάρχει καὶ *ὁμαλής*, οὐδ. *ὁμαλές*· ἐγένετο δὲ χρῆσις καὶ τοῦ *ἀνωμαλής*. Περὶ τῶν εἰς ΟΣ καὶ ΗΣ, γεν. ΟΥΣ, ληγόντων ἐπιθέτων θὰ διαλάβωμεν ἐν οἰκείῳ τόπῳ. Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου φέρεται «*Ὁμαλεῖς* : ὁμοῦ», ἀνθ' οὗ ὁ Μουσοῦρος ἀνέγνω *ὁμαλῇ*. Ὁ Λοβέκκιος γράφει ἐν τοῖς Παραλειπομένοις σελ. 364 «ut ὁμαλῆ id est ὁμοῦ Hesych. quod si ab ὁμαλής provenit, cum ὁμαρτῆ aequiparandum est, ἡσυχῆ, λάθρη etc.». Ἀμφίβολον εἶνε τὸ *ὁμαλῆ* ἢ *ὁμαλῇ*. Παρετηρήσαμεν δὲ καὶ ἀλλαχοῦ ὅτι ὀρθότερον ἔχει ἡ μετὰ τοῦ ὑπογεγραμμένου Ι ἐκφορὰ *λάθρῃ*-*λάθρᾳ*, *ἡσυχῇ*, κτλ. (Ἴδε καὶ Βοιμέλιον ἐν τῇ ἐκδόσει τῶν Δημοσθένους Δημηγοριῶν σελ. 33 κἑξ.). Ὁ Renisch νομίζει (*De Nomin. Gr. in -λος Termin.* σελ. 18) ὅτι πρέπει νὰ γραφῇ παρὰ τῷ Ἡσυχίῳ *ὁμαλῶς* ἀντὶ τοῦ *ὁμαλεῖς*. Ἐσχηματίσθησαν δὲ δύο ἐκ τοῦ *ὁμαλός* ῥήματα, τὸ *ὁμαλύνω* (*διομαλύνω*, *προομαλύνω*, *συνομαλύνω*) καὶ τὸ συχνότερον αὐτοῦ ὂν *ὁμαλίζω* (*διομαλίζω*, *ἐξομαλίζω*, *προομαλίζω*), ὅθεν τὸ *ὁμαλισμός* (Πρβ. καὶ *διομαλισμός* - *διομάλισις*), Παρὰ τῷ Ἀριστοτέλει κεῖται Τόμ. Α', σελ. 398, 25 «καὶ τὸ *ἀνωμαλίσθαι* τὰς πόλεις ἐν πολὺ διέχουσι ταὐτό, ἐν ἐπιφανείᾳ καὶ δυνάμεσι τὸ ἴσον». Εἶνε δὲ τὸ *ἀνωμαλίσθαι* παρακείμενος τοῦ *ἀνομαλίζεσθαι*. Σημειωτέον δ' ὅτι ὁ μὲν Σπέγγελος ἐν τῇ ἐκδόσει τῆς Ἀριστοτέλους Ῥητορικῆς Τόμ. Β', σελ. 410 ἀπεδέξατο τὴν γραφὴν *ὡμαλίσθαι*, ὁ δὲ Σουσεμίλιος ἐν τῇ ἐκδόσει τῶν Ἀριστοτέλους Πολιτικῶν σελ. 624 ἀνέγνω *ἀνομαλισθῆναι*. Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «*Ὁμαλιῶν* : ἰσάζων, καταλειαίνων». Νομίζει δ' ὁ Σμιδίτιος ὅτι εἶνε Δωρικὸς τύπος ἀντὶ τοῦ *ὁμαλίζων* ἢ *ὁμαλύνων* ἢ *ὁμαλῶν*

(ἐκ τοῦ *ὁμαλόω*). Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου μνημονεύεται τὸ *ὁμαλόω* ἐκ γλωσσαρίου, ὡς καὶ τὸ *ἐξομαλόω*, ἀλλ' οὐδὲν οὔτε τοῦ ἁπλοῦ οὔτε τοῦ συνθέτου παράδειγμα φέρεται ἐκ συγγραφέως ἢ ποιητοῦ.

Ὁ τὴν αὐτὴν γνώμην ἔχων λέγεται ἑλληνιστὶ *ὁμογνώμων*, ἐξ οὗ τὸ *ὁμογνωμονῶ*, καὶ ὁ ταὐτὰ ἢ ταὐτὸ φρονῶν καλεῖται *ὁμόφρων*, ὅθεν τὸ *ὁμοφρονῶ*. Τοῦ *ταὐτὸ φρονεῖν* παρατιθέμεθα μαρτύριον τὸ Ἡροδότειον (βιβλ. Α', 60) «μετὰ δὲ οὐ πολλὸν χρόνον *τὠυτὸ φρονήσαντες* οἵ τε τοῦ Μεγακλέος στασιῶται καὶ οἱ τοῦ Λυκούργου ἐξελαύνουσί μιν», ᾧ ὅμοιον τὸ (βιβλ. Ε', 3) «εἰ δὲ ὑπ' ἑνὸς ἄρχοιτο ἢ *φρονέοι κατὰ τὠυτό*, ἄμαχόν τ' ἂν εἴη, κτέ.». Λέγει δ' ὁ Ἡρόδοτος καὶ (βιβλ. Θ', 2) «Ἕλληνας *ὁμοφρονέοντας*, οἵπερ καὶ πάρος *ταὐτὰ ἐγίνωσκον*» καὶ (βιβλ. Ζ', 229) «οὐκ ἐθελῆσαι *ὁμοφρονέειν*, ἀλλὰ *γνώμῃ διενειχθέντας* κτέ.». Πρβ. καὶ Θουκυδ. Β', 97 «οὐκ ἔστιν ὅ τι δυνατὸν Σκύθαις *ὁμογνωμονοῦσι* πᾶσιν ἀντιστῆναι». Ὑπὸ τοῦ Ἡσιόδου ἐν τῇ Ἀσπίδι τοῦ Ἡρακλέους στίχ. 49 ἐλέχθη «Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο (Ἀλκμήνη) παῖδε οὐκ ἔθ' *ὁμὰ φρονέοντε*»· παραπλήσιον δέ τι ὑπὸ τοῦ ποιητοῦ ἐδηλώθη καὶ ἐν στίχ. 88 «τάχα δ' ἄμμες, ἐπιπλομένων ἐνιαυτῶν, γινόμεθ' οὔτε φυὴν *ἐναλίγκιοι* οὔτε *νόημα*». Ὁ Ὅμηρος εἶπεν ἐν τῇ Ὀδυσσείᾳ *ἕνα θυμὸν ἔχοντε* (Γ, 128) καὶ ἐν τῇ Ἰλιάδι *ἕνα θυμὸν ἔχοντες* (Ο, 710 καὶ Π, 219 καὶ Ρ, 267) καὶ *ἕνα φρεσὶ θυμὸν ἔχοντες* (Ν, 487) καὶ *ὁμόφρονα θυμὸν ἔχουσιν* (Χ, 263), οἱ δὲ μεθ' Ὅμηρον ἐσχημάτισαν διὰ συνθέσεως τὸ ἐπίρρημα *ὁμοθυμαδόν*, ἵνα παραστήσωσι τὴν ἔννοιαν τοῦ ἕνα θυμὸν ἔχειν ἤτοι τὸν αὐτὸν θυμὸν ἔχειν. Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 943, 24 «Ἐκ δὲ τοῦ ἕνα φρεσὶ θυμὸν ἔχειν ἐπενοήθη τοῦ *ὁμοθυμαδόν* ἡ σύνθεσις». Ἐναντίον τοῦ *ἕνα θυμὸν ἔχειν* καὶ *ὁμὰ φρονέειν* εἶνε τὸ *ἀμφὶς φρονέειν*. Ἰλ. Ν, 345 «τὼ δ' *ἀμφὶς φρονέοντε* δύω Κρόνου υἷε κραταιὼ κτέ.». Ἐποιήσατο δὲ καὶ περὶ τούτου λόγον ὁ Εὐστάθιος· εἶπε δὲ τάδε σελ. 936, 35 «Ὅτι τὸ *ἀμφὶς φρονεῖν* ἐναντίον ἐστὶ τῷ *ὁμὰ φρονεῖν*, ὅπερ συνθέτως *ὁμοφρονεῖν* λέγεται καὶ τὸ ἐξ αὐτοῦ ὄνομα ἐν Ὀδυσσείᾳ *ὁμοφροσύνη*. Ἔτι τὸ *ἀμφὶς φρονεῖν* ὅμοιόν ἐστι τῇ παρὰ τοῖς παλαιοῖς *διθυμίᾳ*, ὅ ἐστι *διχοστασίᾳ* καὶ ὡς εἰπεῖν *διψυχίᾳ*· τοῦτο δὲ ἀνά-

παλιν ἔχει πρὸς τὸ *ἕνα θυμὸν ἔχοντες*. Τὸ δὲ *ἀμφὶς φρονέειν* ἀλλαχοῦ *ἀμφὶς φράζεσθαι* ἔφη».

Πολλὰ δ' ἔχει ἡ Ἑλληνικὴ γλῶσσα ὀνόματα ὁμοίως τῷ *ὁμογνώμων* καὶ *ὁμόφρων* ἐσχηματισμένα, ὡς δηλοῦται ἐκ τῆς ὑπὸ τοῦ Πολυδεύκους γενομένης συλλογῆς ἐν βιβλ. ϛ', 155 «Ὅσα ἄν τις εἴποι ἐκ τοῦ ὉΜΟ σύνθετα. *Ὁμόσπονδος, ὁμόσιτος, ὁμοήθης, ὁμότροπος, ὁμόδουλος, ὁμόνους, ὁμόφωνος, ὁμόγλωττος, ὁμοτράπεζος, ὁμόφυλος, ὁμόδημος, ὁμωρόφιος, ὁμότιμος, ὁμότεχνος, ὁμόσκηνος, ὁμοδίαιτος, ὁμογνώμων, ὁμομήτριος, ὁμοπάτριος, ὁμώνυμος, ὁμόχρως, ὁμόψηφος, ὁμοβώμιος, ὁμομήτωρ, ὁμοπάτωρ, ὁμογενής, ὁμόγονος, ὁμοειδής*, ὁμοθυμαδόν, *ὁμολογία*· ὁ γὰρ *ὁμόλογος* βίαιόν τε ὁμοῦ καὶ εὐτελές. *Ὁμότιτθον* δὲ Δείναρχος εἴρηκε καὶ Πλάτων *ὁμότροπον* καὶ *ὁμόζυγα* καὶ Θουκυδίδης *ὁμόσκευον*. *Ὁμόδοξον* δ' ἂν εἴποις, Πλάτωνος εἰπόντος *ὁμοδοξίαν*. Οἱ γὰρ *ὁμογάλακτες* ἴδιον τῶν Ἀττικῶν, *ὁμοερκὴς* δὲ σκληρόν, εἰ καὶ παρὰ Σόλωνι. *Ὁμοπτέρους* δὲ τοὺς *ὁμοτρίχους (ὁμότριχας)* εἰπόντος Εὐριπίδου, Στράττις τοὺς *ὁμήλικας* εἴρηκεν *ὁμοπτέρους*». Ἐν τῷ «εἰ καὶ παρὰ Σόλωνι» πιθανώτατον ἡμῖν φαίνεται ὅτι ἔκειτο κατ' ἀρχὰς μετὰ τὸ *εἰ καί* τὸ ῥῆμα *ἐστί*. Πρβ. βιβλ. Θ', 6 «καίτοι παρ' Ἡροδότῳ *ἐστὶν* ὁ συγκτίστης». Γράφει δ' ὁ Πολυδεύκης καὶ ἐν βιβλ. Γ', 22 «Ἀδελφοὶ δὲ οἱ μὲν ἐκ ταὐτοῦ πατρὸς *ὁμοπάτριοι* καὶ *ὁμοπάτορες*, οἱ δὲ ἐκ τῆς αὐτῆς μητρὸς *ὁμομήτριοι* καὶ *ὁμομήτορες*· καὶ *ὁμογάλακτας* δὲ τούτους καὶ *ὁμογαστρίους* καὶ *ὁμογάστορας* ὀνομαστέον καὶ *ὁμογνίους* καὶ *ὁμογόνους*. Οὕτω δὲ καὶ τοὺς διδύμους ὠνόμαζον, ὥσπερ καὶ ὁμόπαιδας — Οἱ γὰρ *σύναιμοι* καὶ *ὁμαίμονες*, τὸ μὲν ἰδιωτῶν, τὸ δὲ ποιητῶν». Πρβ. καὶ *ὁμοθάλαμος* καὶ *ὁμόνομος* καὶ *ὁμοεθνής* καὶ *ὁμόπολις* - *ὁμόπτολις* καὶ *ὁμοβλαστής*, κτλ.

Ὁ Ἁρποκρατίων ποιεῖται μνείαν τοῦ οὐδετέρου *ὁμοερκές* λέγων σελ. 222, 18 «*Ὁμοερκές*: Δείναρχος ἐν τῷ πρὸς τὴν Καλλίππου παραγραφήν· ἀντὶ τοῦ *ὑφ' ἓν ἕρκος*, τουτέστιν ὑπὸ τὸν αὐτὸν περίβολον». Πρβ. καὶ Ἡσύχ. «*Ὁμοερκής*: ὁμότοιχος» καὶ Βεκκ. Ἀν. σελ. 286, 33 «*Ὁμοερκεῖς κίονες*: οἱ τῶν μετάλλων κίονες»·

Τοῦ ἐπιθέτου *ὁμόλογος* ἐγένετο χρῆσις ὑπὸ τοῦ Ξενοφῶντος ἐν τῷ Συμποσίῳ κεφ. Η', 36 «δοκοῦμεν δ' ἂν μοι πάντες *ὁμόλογοι* γενέσθαι» (Ἴδε Λοβέκκιον εἰς *Φρύν*. σελ. 3).

Παρ' οὐδενὶ δ' εὑρέθη τὸ *ὁμόνους*· ἀπαντᾷ δ' ὅμως παρὰ τῷ Ξενοφῶντι (Παιδ. Ϛ', δ', 15 καὶ Ἀγησ. Α', 37) τὸ ἐπίρρημα *ὁμονόως*, ὅπερ ἔτρεψεν εἰς τὸ *ὁμόνως* ὁ Λ. Δινδόρφιος ἐν τῇ ἐκδόσει τῶν Ξενοφῶντος Ἑλληνικῶν σελ. 69 καὶ ἐν τῇ τῆς Παιδείας σελ. 311. Σύνηθες ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ὑπάρχει τὸ ῥῆμα *ὁμονοῶ* καὶ τὸ ὄνομα *ὁμόνοια*. Πρβ. καὶ *Ὁμόνοια-Ὁμονοεῖον*.

Ἐν τοῖς Ἀχαρνεῦσι τοῦ Ἀριστοφάνους στίχ. 790 φέρεται «*ὁμοματρία* γάρ ἐστι *κὴκ τωὐτῶ πατρός*». Σαφέστατα δὲ τὸ χωρίον τοῦτο μηνύει ὅτι ἀδιαφόρως δύναται νὰ ῥηθῇ *ὁμοπατρίαν εἶναι* καὶ *ἐκ ταὐτοῦ πατρὸς εἶναι*. Ὑπὸ τοῦ Ἡροδότου λέγεται βιβλ. Α', 92: *ἀδελφεὸς οὐκ ὁμομήτριος* καὶ βιβλ. Ϛ', 38: *ἀδελφεοῦ ὁμομητρίου* καὶ βιβλ. Ϛ', 103: *τῷ ὁμομητρίῳ ἀδελφεῷ* καὶ βιβλ. Ε', 25: *ἀδελφεὸν ἑωυτοῦ ὁμοπάτριον*, ἀλλὰ βιβλ. Γ', 39: *τὸν ἀδελφεὸν Σμέρδιν ἐόντα πατρὸς καὶ μητρὸς τῆς αὐτῆς*. Ἐν Ὀδυσσείας Η, 54 εἶνε εἰλημμένον τὸ *ἐκ τοκήων τῶν αὐτῶν* ἀντὶ τοῦ *ἐκ τῶν αὐτῶν προγόνων*. Εὐστάθ. σελ. 1567, 64 «Τὸ δὲ *ἐκ τοκήων τῶν αὐτῶν οἳ τέκον Ἀλκίνοον* ἔπεισε, φασί, τὸν Ἡσίοδον ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπολαβεῖν. Ὅμηρος δὲ τὸ τῶν *αὐτῶν τοκήων* ἀντὶ *προγόνων* ἔλαβεν». Συνημμένα τὸ *ὁμοπάτριος* καὶ *ὁμομήτριος* εὑρίσκονται ἐν τῇ Ἀναβάσει τοῦ Ξενοφῶντος βιβλ. Γ', α', 17 «ὃς καὶ τοῦ *ὁμομητρίου* καὶ *ὁμοπατρίου* ἀδελφοῦ καὶ τεθνηκότος ἤδη ἀποτεμὼν τὴν κεφαλὴν καὶ τὴν χεῖρα ἀνεσταύρωσεν». Ὁ Κόβητος μεταθεὶς τὰ ὀνόματα ἐξέδωκεν ἐν τῷ συγγράμματι τοῦ Ξενοφῶντος «τοῦ *ὁμοπατρίου* καὶ *ὁμομητρίου* ἀδελφοῦ». Κατὰ τὴν αὐτὴν τάξιν λέγεται ἐν τοῖς τοῦ Κτησίου παρὰ Φωτ. Βιβλ. σελ. 42, 16 «Ἀρσίτης ὁ οἰκεῖος ἀδελφός, *ὁμοπάτριος* καὶ *ὁμομήτριος*» καὶ ἐν τῷ κατὰ Διογείτονος Λόγῳ τοῦ Λυσίου § 4 «ἀδελφοὶ ἦσαν — Διόδοτος καὶ Διογείτων *ὁμοπάτριοι* καὶ *ὁμομήτριοι*». Σημειωτέον δ' ὅτι ἠδύνατο μὲν ἀνὴρ Ἕλλην νὰ λάβῃ γυναῖκα ἀδελφὴν ὁμοπατρίαν, ὡς διδασκόμεθα ἐκ τοῦ παρὰ τῷ Δημοσθένει σελ. 1304, 20 «ἀδελφὴν γὰρ ὁ πάππος οὑμὸς ἔγημεν *οὐχ ὁμομητρίαν*» καὶ ἐκ τοῦ παρὰ τῷ Πλουτάρχῳ Θεμιστ. ΛΒ', 2 «Ἀρχέπτολις ὁ ἀδελφὸς *οὐκ ὢν ὁμομήτριος* ἔγημεν»· ἀλλ' ἀνοσιώτατον καὶ βδελυρώτατον ἐνομίζετο νὰ μιγνύηταί τις ἀδελφῇ ὁμομητρίᾳ, σχετλιάζων δ' ἐμνήσθη τῆς τοιαύτης μίξεως ὁ Στρεψιάδης ἐν ταῖς Νεφέλαις τοῦ Ἀριστοφάνους στίχ. 1371 «ὡς ἐκίνει (ἐβίνει) ἀδελφός, ὠλεξίκακε,

τὴν ὁμομητρίαν ἀδελφήν». Γνωστὸν δ' εἶνε τὸ ὑπὸ τοῦ Σωτάδου ῥηθὲν εἰς Πτολεμαῖον τὸν Φιλάδελφον, ὃς ἔγημε τὴν ἀδελφὴν Ἀρσινόην, «εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς». Πλείονα περὶ τοῦ πράγματος θὰ γράψωμεν ἀλλαχοῦ (Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1881, σελ. 314. Πρβ. καὶ Χαρικλ. Βεκκ. Τόμ. Γ', σελ. 350 ἐκδ. Γοιλλ).

Παρὰ τῷ Ἀριστοτέλει κεῖται Τόμ. Α', σελ. 483, 9 «Ἡ μὲν οὖν εἰς πᾶσαν ἡμέραν συνεστηκυῖα κοινωνία κατὰ φύσιν οἶκός ἐστιν, οὓς Χαρώνδας μὲν καλεῖ *ὁμοσιπύους*, Ἐπιμενίδης δὲ ὁ Κρὴς *ὁμοκάπους*. Ἡ δ' ἐκ πλειόνων οἰκιῶν κοινωνία πρώτη χρήσεως ἕνεκεν μὴ ἐφημέρου κώμη· μάλιστα δὲ κατὰ φύσιν ἔοικεν ἡ κώμη ἀποικία οἰκίας εἶναι· οὓς καλοῦσί τινες *ὁμογάλακτας* παῖδάς τε καὶ παίδων παῖδας». Γράφει δ' ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τῶν Πολιτικῶν τοῦ Ἀριστοτέλους σελ. 261 «Ὁμοσιπύους... ὁμοκάπους: *Σιπύη* μὲν ἡ ἀρτοθήκη, καὶ *Κάπη* ἡ τροφή· ὥστε ταὐτὸν δύνανται αἱ λέξεις ὥσπερ ἂν εἰ ἔλεγε καὶ ὁμοσίτους, ἢ ὁμοτραπέζους» καὶ «ὁμογάλακτας: Ὁμογάλακτες, οἱ τοῦ αὐτοῦ γάλακτος, οὓς καὶ *Γεννήτας* ἐκάλουν, φησὶν ὁ Φώτιος» (Ἴδε Βουσόλτιον ἐν *Griech. Geschicht.* Τόμ. Α', σελ. 395, σημ. 1). Σημειωτέον δ' ὅτι φέρεται παρὰ τῷ Ἀριστοτέλει καὶ γραφὴ *ὁμοκάπΝους*, ἣν προύκρινεν ὁ Γοιτλίγγιος ἐν τῇ ἐκδόσει τῶν Πολιτικῶν τοῦ Ἀριστοτέλους σελ. 479 (Πρβ. καὶ Σουσεμίλιον εἰς *Ἀριστοτ. Πολιτ.* Τόμ. Β', σελ. 5 ἐκδ. 1879).

Γνωστὸν εἶνε τὸ *ὁμηγερής*, *ὁμηγερέες τ' ἐγένοντο*, γνωστότατον δὲ τὸ *ὁμήγυρις*· ἐσχηματίσθη δ' ἐκ τοῦ *ὁμήγυρις* καὶ ῥῆμα *ὁμηγυρίζομαι* καὶ ἐπίθετον *ὁμηγύριος*, δωρ. *ὁμαγύριος*. Παυσαν. Ἀχαϊκ. ΚΔ', 1 «Κόρη τε πεποίηται τῇ Δήμητρος καὶ τέταρτον *Ὁμαγυρίῳ* Διί— *Ὁμαγύριος* δὲ ἐγένετο τῷ Διὶ ἐπίκλησις ὅτι Ἀγαμέμνων ἤθροισεν ἐς τοῦτο τὸ χωρίον τοὺς λόγου μάλιστα ἐν τῇ Ἑλλάδι ἀξίους, μεθέξοντας ἐν κοινῷ βουλῆς καθ' ὅντινα χρὴ τρόπον ἐπὶ ἀρχὴν τὴν Πριάμου στρατεύεσθαι». Μνημονεύεται δὲ καὶ *Ζεὺς Ὁμάριος* ὑπὸ τοῦ Πολυβίου βιβλ. Β', λθ', 6 «πρῶτον μὲν ἀπέδειξαν *Διὸς Ὁμαρίου* κοινὸν ἱερὸν καὶ τόπον, ἐν ᾧ τάς τε συνόδους καὶ τὰ διαβούλια συνετέλουν». Πρβ. καὶ *Ὁμάριον*, περὶ οὗ ἴδε Κοραῆν εἰς *Στράβ.* Τόμ. Δ', σελ. 169 κέξ. καὶ Γροσκούρδιον εἰς *Στράβ.* Τόμ. Β', σελ. 106 (Πρβ. καὶ Μεινέκιον εἰς *Στέφ. Βυζ.* σελ. 491, 22).

Ἐκ τοῦ *ὁμοῦ* καὶ *ἀκούω* συνίστη τὸ τοῖς Πυθαγορείοις σύνηθες ὂν

ὄνομα *ὁμάκοος-ὁμάκοοι*, ἐξ οὗ παρήχθη τὸ *ὁμακοεῖον*, ὁμοίως ἐσχηματισμένον τῷ *διδασκαλεῖον*, *παιδαγωγεῖον*, *ἰατρεῖον*, *χορηγεῖον*, *σεμνεῖον*, *σκυτοτομεῖον*, *ἀσωτεῖον*, *καπηλεῖον*, *ἐριουργεῖον*, *χρυσοχοεῖον*, *σιδηρουργεῖον*, *χαλκουργεῖον*, *χαλκοτυπεῖον*, *χαλκεῖον*, *κοιτεῖον*, *ἀρχεῖον*, *γραφεῖον*, *κουρεῖον*, *ταμιεῖον*, *πρυτανεῖον*, *μαντεῖον*, κτλ. Ἐσφαλμένη δ᾽ εἶνε ἡ ἐκφορὰ *ὁμακόειον* καὶ *ὁμακόϊον*. Ὁ Ἰάμβλιχος λέγει ἐν τῷ περὶ τοῦ Πυθαγορικοῦ Βίου § 73 «μνῆμα δὲ αὐτοῖς ὡς νεκροῖς ἐχώννυτο ὑπὸ τῶν *ὁμακόων*· οὕτω γὰρ ἐκαλοῦντο πάντες οἱ περὶ τὸν ἄνδρα» καὶ § 162 «ὥστε εἰς ὅρκου σχήματα περιίστατο τοῖς *ὁμακόοις*» καὶ § 30 «ὁμοῦ παισὶ καὶ γυναιξὶν *ὁμακοεῖόν* τι παμμέγεθες ἱδρυσάμενοι κτέ.» καὶ § 74 «ἐξήλαυνον ἂν τοῦ *ὁμακοείου*» καὶ § 185 «εἰ μή περ ἐν τῷ *ὁμακοείῳ* τὰς ἑξῆς ἡμέρας γενόμενος ὁ Εὐρύφαμος κτέ.» (Ἴδε Κόβητον ἐν *Collect. Crit.* σελ. 318 καὶ 358. Πρβ. καὶ Ναύκιον εἰς *Ἰάμβλ. περὶ τοῦ Πυθ. Βί.* σελ. 23 καὶ 53 καὶ 134). Φέρεται δὲ καὶ παρὰ τῷ Πορφυρίῳ Πυθαγ. Βί. 20 «ὁμοῦ σὺν παισὶ καὶ γυναιξὶν *ὁμακόϊόν* τι παμμέγεθες ἱδρυσαμένους κτέ.» καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 355 «καὶ τὴν ἐκκλησίαν τὴν νῦν οὕτω καλουμένην τὸ παρ᾽ αὐτῷ *ὁμακοεῖον* αἰνίττεται». Παρατηρητέον δ᾽ ὅτι ἐσώθη παρὰ τῷ Κλήμεντι τὸ ὑγιῶς προενηνεγμένον *ὁμακοεῖον*, ὃ ἀναγκαῖον εἶνε καὶ παρὰ τῷ Πορφυρίῳ ν᾽ ἀποκαταστήσωμεν (Ἴδε καὶ Γ. Δινδόρφιον εἰς *Κλήμ. Ἀλεξ.* Τόμ. Β΄, σελ. 55). Ἐν τῷ εἰς Πλάτωνος Τίμαιον Ὑπομνήματι τοῦ Πρόκλου εἶνε μὲν ὑπὸ τοῦ Σνειδήρου ἐκδεδομένον σελ. 16 «καὶ γὰρ τῶν εἰς τὸ *ὁμακόϊον* φοιτώντων οἱ μὲν βαθυτέρων, οἱ δὲ ἐπιπολαιοτέρων ἥπτοντο δογμάτων», ἀλλὰ μνημονεύεται καὶ γραφὴ *ὁμακόειον*. Τὴν διὰ τοῦ Ι ἐκφορὰν βλέπει τις καὶ παρὰ τῷ Ὀλυμπιοδώρῳ εἰς Πλάτωνος Φαίδωνα «πῶς δὲ ἄρα καταλέλοιπε τὸ *ὁμακόϊον*, ὅπερ ἦν ἐν Ἰταλίᾳ Πυθαγορικὸν διδασκαλεῖον;» καὶ εἰς Α΄ Ἀλκιβιάδην «ἐκεῖνοι γὰρ τοὺς ἀνεπιτηδείους ἐξέβαλλον ἐκ τοῦ *ὁμακοΐου* σὺν τοῖς οἰκείοις χρήμασι» (Ἴδε Κρευζῆρον ἐν *Init. Philos. ac Theol. etc.* Μέρ. Β΄, σελ. 132). Κεῖται δὲ καὶ παρὰ τῷ Εὐσταθίῳ ἐν τοῖς Μικροῖς Συγγράμμασι σελ. 132, 40 «ὡς οὐκ ἄν, οἶμαι, βαρυνεῖται τὸ καθ᾽ ἡμᾶς ἱερὸν *ὁμακόϊον*» καὶ ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 856, 63 «Τὸ δὲ ἀΐεν, οὗ θέμα τὸ ἀΐω, τουτέστιν ἀκούω, ὀνόματος Πυθαγορικοῦ ἐστι παραγωγόν, ὥσπερ καὶ τὸ ἀκούειν· ὡς γὰρ

ἐξ αὐτοῦ *ὁμακόϊον* τὸ ἄθροισμα τῶν ἀκροωμένων, οὕτω καὶ *ὁμάϊον* τὸ αὐτὸ παρὰ τὸ ὁμοῦ ἀΐειν, ὅπερ ἐστὶν ἀκούειν». Οὐδαμῶς ἡμῖν θαυμαστὸν φαίνεται ἂν ὑπὸ τοῦ Εὐσταθίου ἐξεφέρετο διὰ τοῦ Ι τὸ περὶ οὗ ὁ λόγος ὄνομα. Ἀδυνατοῦμεν δὲ νὰ πείσωμεν ἡμᾶς αὐτοὺς ὅτι ἔλεγον οἱ περὶ τὸν Πυθαγόραν *ὁμάϊον* ἐκ τοῦ *ὁμοῦ* καὶ *ἀΐω*· πιθανώτατον δὲ νομίζομεν ὅτι ἐπλανήθη ὁ Εὐστάθιος ἐκ πλημμελοῦς γραφῆς. Τοῦ ὀνόματος τούτου φέρεται μαρτύριον καὶ ἐκ τοῦ εἰς τὰ Χρυσᾶ Ἔπη Ὑπομνήματος τοῦ Ἱεροκλέους σελ. 318 «οὐχ ἑνός τινος τῶν Πυθαγορείων ἀπομνημόνευμα, ὅλου δὲ τοῦ ἱεροῦ συλλόγου καί, ὡς ἂν αὐτοὶ εἴποιεν, τοῦ *ὁμαΐου* παντὸς ἀπόφθεγμα κοινόν». Ἀλλ᾽ ὑπάρχει καὶ γραφὴ *ὁμοίου* καὶ *ὁμακίου*· ἐν τῷ μετωπίῳ δ᾽ ἑνὸς τῶν κωδίκων κεῖται «ἴσως *ὁμακοΐου*». Ἄνευ τινὸς ὄκνου ἡμεῖς ἀποφαινόμεθα ὅτι ὑπὸ τοῦ Ἱεροκλέους ἐγράφη *ὁμακοείου* (Πρβ. καὶ Κισλίγγιον ἐν τῇ ἐκδόσει τοῦ περὶ τοῦ Πυθαγορικοῦ Βίου Λόγου τοῦ Ἰαμβλίχου Τόμ. Β', σελ. 44 καὶ Γαίσφορδον ἐν τῇ ἐκδόσει τοῦ Ὑπομνήματος τοῦ Ἱεροκλέους σελ. 183). Συνωνυμεῖ δὲ τὸ *ὁμακοεῖον* τῷ *διδασκαλεῖον* ἢ *συνέδριον*· λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ *σύστημα* (Πρβ. καὶ *παιδαγωγεῖον* καὶ *φροντιστήριον* καὶ *auditorium*). Ὑπὸ τοῦ Στράβωνος ἐλέχθη σελ. 263 «φασὶ δ᾽ ἐν τῷ *συσσιτίῳ* ποτὲ τῶν φιλοσόφων πονήσαντος στύλου, τὸν Μίλωνα ὑποδύντα σῶσαι ἅπαντας» (Ἴδε Μενάγιον ἐν *Παρατηρ. εἰς Διογ. Λαέρτ.* Τόμ. Β', σελ. 342 Ὑβν.). Σημειωτέον δ᾽ ὅτι ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου ἀπαντᾷ σελ. 351, 26 «τοῦ *ὁμμακοΐου* τῆς αὐτοψίας καὶ ἀκοῆς ἅμα».

Ἐν ἐπιγραφῇ Λοκρικῇ εὑρέθη ΗΟΠΟΞΕΝΟΝ, ποιούμενος δὲ περὶ αὐτοῦ λόγον ὁ Οἰκονομίδης, εἷς τῶν μάλιστα πεπαιδευμένων Ἑλλήνων, (ἐν *Ἐποικ. Λοκρ. Γραμμ.* σελ. 59) γράφει «ΗΟΠΟΞΕΝΟΝ = *ὁπόξενον* = *ὁμόξενον*. Πρῶτον ἐν τῇδε τῇ ἐπιγραφῇ εὕρηται ἡ λέξις αὕτη, παρεμβάλλουσα διὰ τοῦτο καί τινα οὐχὶ παράλογον ὑποψίαν μὴ κατὰ πλάνην ὁ χαράκτης ἔθηκε *π* ἀντὶ τοῦ *μ*. Ἀλλὰ τῶν συμφώνων τούτων ἡ εἰς ἄλληλα τροπή, μάλιστα δὲ ἡ παρ᾽ Αἰολεῦσι τοῦ *μ* εἰς τὸ *π* μετάστασις ἔκ τε τῶν μνημείων καὶ τῶν παραδόσεων τῶν γραμματικῶν ἱκανῶς ἤδη μαρτυρεῖται, οἷον κτέ.». Ἡ γνώμη τοῦ Οἰκονομίδου, καθ᾽ ἣν ἀντὶ τοῦ *ὁμόξενος* ἐρρήθη *ὁπόξενος* τροπῇ τοῦ Μ εἰς τὸ Π, οὐδαμῶς εἶνε ἀποδεκτή. Ἀλλὰ καὶ ἡ ἀνάγνωσις τοῦ Κουρτίου *ὀπ(λ)όξενον* (ἐν *Μελετ.* Τόμ. Β', σελ. 447), ἡ ἀρέσκεταί πως καὶ ὁ Ἀλλὴν (ἐν *Κουρτ. Μελ.* Τόμ.

Γ', σελ. 241), ἥκιστα ἡμῖν εὔλογος φαίνεται (Πρβ. καὶ Καυῆρον ἐν *Ἐκλ. Ἐπιγρ. Ἑλλ.* σελ. 163 ἐκδ. β').

Τῷ *ὁμόδουλος* συνωνυμεῖ τὸ *σύνδουλος*. Ψευδὲς εἶνε τὸ δίδαγμα Θωμᾶ τοῦ Μαγίστρου σελ. 253, 8 «*Ὁμόδουλος* Ἀττικόν, οὐ *σύνδουλος*» καὶ τὸ τοῦ Μοίριδος σελ. 273 «*Ὁμόδουλος* Ἀττικῶς, *σύνδουλος* Ἑλληνικῶς». Ἀμφοτέρων τῶν ὀνομάτων τούτων ἐγίνετο χρῆσις ὑπὸ τῶν Ἀθηναίων. Ὁ Πολυδεύκης γράφει βιβλ. Γ', 82 «*σύνδουλοι* δὲ λέγει Λυσίας καὶ Εὐριπίδης, Ὑπερείδης δὲ καὶ Εὐκλείδης *ὁμόδουλον* λέγουσιν· ἔνιοι δ' *ὁμόδουλον* μὲν οἴονται τὸν τῆς αὐτῆς τύχης, σύνδουλον δὲ τὸν τοῦ αὐτοῦ δεσπότου». Πρβ. καὶ Σουίδ. «*Σύνδουλος*. Οὐ μόνον *ὁμοδούλους* ἔλεγον ἀλλὰ καὶ *συνδούλους*. Ἀριστοφάνης· ἵν' ὁ *σύνδουλος* σκώψας αὐτοῦ τὰς πληγὰς ἐπανέροιτο (εἶτ' ἀνέροιτο), ὦ κακόδαιμον, κτέ.» (Ἴδε Πιέρσωνα εἰς *Μοίρ.* σελ. 273). Ἐλέχθη δὲ καὶ *ὁμομαστιγίας* ὑπὸ τοῦ Ἀριστοφάνους παίζοντος ἐν Βατράχοις στίχ. 756. Ἴδε καὶ Εὐστάθ. σελ. 1757, 35.

Οὐκ ὀλίγα δ' ἐν τῇ Ἑλληνικῇ καθόλου γλώσσῃ φέρονται ὅμοια τῷ *ὁμόδουλος* - *σύνδουλος*, οἷον

ὅμαιμος - *σύναιμος* καὶ *ὁμαίμων* - *συναίμων*. Σουίδ. «*Ὅμαιμος*: ἀδελφός. Ἐν ἐπιγράμμασιν· οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν *ὅμαιμοι*. Λέγονται καὶ *σύναιμοι*». Τὸ *ὅμαιμος* κεῖται καὶ παρὰ τῷ Πλουτάρχῳ καὶ παρὰ Φίλωνι τῷ Ἰουδαίῳ καὶ παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ. Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Λουκιανῷ ἐν τῷ περὶ τοῦ μὴ Ῥᾳδ. Πιστ. τῇ Διαβ. 28 «τὴν ἐπιβουλὴν καὶ ἐνέδραν ὑπὸ φθόνου φαίνεται συντεθεικὼς κατ' ἀνδρὸς *ὁμαίμου* καὶ φίλου καὶ ἐπὶ τὸν αὐτὸν κίνδυνον ἐκπεπλευκότος». Ὁ Κόβητος γράφει ἐν *Var. Lect.* σελ. 196 «In § 28 dicitur Ulysses ἐπιβουλὴν συντεθεικὼς κατ' ἀνδρὸς ὁμαίμου καὶ φίλου (τοῦ Παλαμήδους). nesciebam Palamedem Ulyssi fratrem fuisse. Corrige ὁμαίχμου quod iste pro συμμάχου posuit». Ἀλλ' οὐδὲν κωλύει νὰ νοηθῇ τὸ *ὁμαίμου* ἀντὶ τοῦ *συγγενοῦς* καθόλου ἤτοι *ὁμογενοῦς*, ὡς παρὰ τῷ Ἡροδότῳ βιβλ. Η', 144 «τὸ Ἑλληνικὸν ἐὸν *ὅμαιμόν* τε καὶ ὁμόγλωσσον» καὶ βιβλ. Α', 151 «ἐόντας *ὁμαίμους*», ἀνθ' οὗ ἐν βιβλ. Ε', 49 κεῖται «ἄνδρας *ὁμαίμονας*». Ὁ Εὐστάθιος λέγει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 410, 36 «Ποιεῖ δὲ τοῦτο ἐκεῖνος διὰ τὸ μὴ πάντα *ὁμαι*-

μον ἤδη καὶ κασίγνητον εἶναι· *ὅμαιμοι* γὰρ πολλαχοῦ καὶ οἱ ἁπλῶς καθ' αἷμα καὶ προσγενεῖς, ὡς δηλοῖ καὶ Λυκόφρων ὁ καὶ *αὐθομαίμους* τοὺς τοῦ αὐτοῦ γένους εἰπών». Κεῖται δὲ καὶ ἐν τῷ Λεξικῷ τοῦ Φωτίου καὶ τῷ τοῦ Σουΐδα «*Ὅμαιμος* καὶ *ὁμαίμων* : ἀδελφὸς ἢ συγγενής· καὶ ὁμονήδυος» καὶ ἐν τῷ τοῦ Ἡσυχίου «*Ὅμαιμοι*: ἀδελφοί, συγγενεῖς, ὁμόαιμοι». Πρβ. καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Γ', σελ. 192-6. Ἴδε Ναύκιον ἐν *Ἀριστοφ. Βυζαντ.* σελ. 130 κἑξ.

ὁμογενής - *συγγενής* καὶ *ὁμόγονος* - *σύγγονος*. Πρβ. καὶ *ὁμόγνιος* καὶ *ὁμόγνιος Ζεύς*.

ὁμῆλιξ - *συνῆλιξ*. Λέγεται δὲ καὶ *συνομῆλιξ*, περὶ οὗ ἐγένετο λόγος ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 291, 37, ὡς καὶ *συνόμαιμος* - *συνομαίμων*, *συνομώνυμος*, *συνόμευνος*, *συνομήθης*, κτλ. (Πρβ. Βάστιον ἐν *Ἐπιστ. Κριτ.* σελ. 150). Περὶ τοῦ *ὁμοσύζυξ* ἴδε Βέργκιον ἐν *Ποιητ. Λυρ.* Τόμ. Γ', σελ. 605 ἐκδ. δ'.

ὁμόγαμβρος - *σύγγαμβρος*. Ὁ Οἰκονομίδης ἐν *Ἐποικ. Λοκρ. Γράμμ.* σελ. 60 γράφει *ὁμογάμβριος* καὶ *ὁμογάμβριοι*. Ὑπό τινος τῶν παλαιῶν Ἑλλήνων ἐγένετο χρῆσις τοῦ τύπου τούτου ἀγνοοῦμεν. Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους βιβλ. Γ', 32 κεῖται «οἱ δὲ ἀδελφὰς γήμαντες *ὁμόγαμβροι* ἢ *σύγγαμβροι* ἢ μᾶλλον συγκηδεσταί, καὶ παρὰ τοῖς ποιηταῖς εἰλίονες». Τὸ *εἰλίονες* εἶνε πάντως ἡμαρτημένον· μετέγραψε δ' ὁ μὲν Βαλκενάριος ἐν τῇ ἐκδόσει τῶν Φοινισσῶν Τόμ. Α', σελ. 217 Λιψ. *κηδεμόνες*, ὁ δὲ Ναύκιος ἐν τῇ συλλογῇ τῶν Ἀριστοφάνους τοῦ Βυζαντίου σελ. 137 *αἴλιοι*.

ὁμόγαμος - *σύγγαμος*. Ἴδε Βαλκενάριον εἰς *Εὐριπ. Φοιν.* Τόμ. Α', σελ. 218 Λιψ. καὶ Φούγκιον ἐν *Κουρτ. Μελετ.* Τόμ. Ι', σελ. 173. Εὑρέθη δὲ καὶ ὄνομα *συγγαμέτας* ἐν ἐπιγραφῇ τῆς Πάρου κατακεχωρισμένῃ ἐν τῷ Δελτίῳ τῆς Ἑλληνικῆς Ἀλληλογραφίας 1880, σελ. 287.

ὅμευνος - *σύνευνος* καὶ *ὁμευνέτης* (θηλ.—*έτις*) *συνευνέτης* (θηλ.—*έτις*). Ἴδε Φούγκιον ἐν *Κουρτ. Μελετ.* Τόμ. Ι', σελ. 171. Ὑπάρχει καὶ θηλυκὸν *ὅμευνις* ἢ μᾶλλον *ὁμευνίς* καὶ *συνεύνα* (= συνεύνη), «ὦ *συνεύνα* χρηστά, χαῖρε» (Συλλ. Ἐπιγρ. Ἑλλ. 2498, Τόμ. Β', σελ. 387). Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου φέρεται «*ὉμευνΗτου* : συγκοίτου, ὁμολέκτρου», ἀλλ' ἐν τῷ τοῦ Φωτίου σελ. 332, 4 κεῖται «*ὉμευνΕτου* : συγκοίτου, ἀνδρός». Πρβ. καὶ Σουΐδ. «*Ὁμευ*-

νετης, *ὁμευνέτου*: συγκοίτου, ἀνδρός. Θηλυκῶς δὲ διὰ τοῦ Ι».

ὁμόλεκτρος - *σύλλεκτρος* καὶ *ὁμόκοιτος* - *σύγκοιτος*. Πλημμελῶς εἶνε ἐσχηματισμένος ὁ τύπος *ὁμόλΕχος*.

ὁμόζυξ - *σύζυξ* καὶ *ὁμόζυγος* - *σύζυγος* καὶ *ὁμοζυγής* - *συζυγής*. Περὶ τῶν τύπων *ὁμόζυξ* καὶ *ὁμόζυγος*, κτλ. θὰ διαλάβωμεν μετ' ἀκριβείας ἀλλαχοῦ (Ἴδε Ναβῆρον ἐν *Μνημοσ*. 1884, σελ. 347 κἑξ. Πρβ. καὶ Φούγκιον ἐν *Κουρτ*. *Μελετ*. Τόμ. Ι', σελ. 173).

ὁμοτράπεζος - *συντράπεζος* καὶ *ὁμόσιτος* - *σύσσιτος*. Πολυδεύκ. ϛ', 12 «*ὁμοτράπεζος*, *συντράπεζος*, *ὁμόσιτος*, *σύσσιτος*, ὁμόδειπνος». Πρβ. καὶ *ὁμόδαις*, τουτέστιν ὁ ὁμοῦ εὐωχούμενος (Χοιροβ. σελ. 206, 29).

ὁμέστιος - *συνέστιος*. Σχολ. Σοφοκλ. Τόμ. Β', σελ. 255, 17 «*Ὁμέστιος* δὲ καὶ *συνέστιος* ὁ ἐν μιᾷ οἰκίᾳ μεθ' ἑτέρου ὤν». Παρὰ τῷ Ἡσυχίῳ φέρεται «*Ὁμέστιοι*: σύνοικοι» καὶ «*Ὁμέστιον*: σύνοικον» καὶ «*Ὁμέστι*[*κ*]*ος*: ὁμόοικος» καὶ «*Συνέστιοι*: συναγωγοί, ὁμοτράπεζοι». Πρβ. καὶ Κόβητον ἐν *Μνημοσ*. 1861, σελ. 417.

ὁμότροφος - *σύντροφος*. Χοιροβοσκ. Ἐπιμερ. τοῦ Ψαλτηρ. σελ. 74, 7 «Ἡ δὲ σύν πρόθεσις τὸ ὁμοῦ δηλοῖ, ὡς τὸ συνέκδημος, *σύντροφος*, σύνοικος, ἀντὶ τοῦ ὁμοέκδημος, *ὁμότροφος*, ὁμόοικος». Πρβ. καὶ *σύννομος* = *ὁμόνομος*.

ὁμόψηφος - *σύμψηφος* καὶ *ὁμηρέτης* - (*συνηρέτης*) *συνηρετῶ*. Ἴδε Λοβέκκιον εἰς *Φρύν*. σελ. 2 κἑξ. καὶ εἰς *Σοφοκλ*. *Αἴ*. σελ. 392 ἐκδ. γ'. Πρβ. καὶ Φούγκιον ἐν *Κουρτ*. *Μελετ*. Τόμ. Ι', σελ. 171.

ὁμόσπονδος (*ὁμοσπονδῶ*) - *σύσπονδος* καὶ *ὅμαιχμος* - *σύναιχμος*. Ἐκ τοῦ *ὅμαιχμος* ἐσχηματίσθη τὸ *ὁμαιχμία*, περὶ οὗ γράφει ὁ Πολυδεύκης βιβλ. Α', 153 «*ὁμαιχμία* γὰρ Θουκυδίδου μέν, οὐ μὴν λεῖον πρὸς τὴν ἀκοήν» καὶ βιβλ. Δ', 30 «τὸ γὰρ *ὁμαιχμίαν* πονηρόν». Οὐ μόνον ὁ Θουκυδίδης ἐποιήσατο χρῆσιν τοῦ προκειμένου ὀνόματος ἀλλὰ καὶ ὁ Ἡρόδοτος· ἀπαντᾷ δὲ καὶ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ Ῥωμ. Ἀρχαιολ. σελ. 510 καὶ σελ. 1210 καὶ παρὰ τῷ Ἀππιανῷ Κελτ. ΙΕ'. Πρβ. καὶ Σουΐδ. λ. *ὁμαιχμία*. Κακῶς ἐν τῷ κώδικι τοῦ Ἡσυχίου εἶνε γεγραμμένον «*Ὁμαίχμη*: συμμαχία» ἀντὶ τοῦ *ὁμαιχμίη* (Ἴδε Τούπιον ἐν *Emendat*. Τόμ. Γ', σελ. 507 καὶ Τόμ. Δ', σελ. 148). Φέρεται δὲ παρὰ τῷ Ἡσυχίῳ καὶ «*ὉμΟαιχμία*: ὁμομαχία» ἀντὶ τοῦ *ὁμαιχμία*.

ὁμόσκηνος - *σύσκηνος*. Ἴδε Βυττεμβάχιον εἰς *Πλουτ*. *Ἠθικ*. Τόμ.

ς', σελ. 540 καὶ Κόβητον ἐν *Nov. Lect.* σελ. 722 κἑξ. Πρβ. καὶ *Mnemos.* 1875, σελ. 388 κἑξ.

ὁμόχρονος - σύγχρονος. Πρβ. καὶ *ὁμοχρονῶ - συγχρονῶ (συγχρονίζω)*.

ὅμορος - σύνορος. Ἴδε Ἰ. Σμιδίτιον ἐν *Synonym. d. Griech. Sprach.* Τόμ. Β', σελ. 47 κἑξ.

ὁμόναος - σύνναος. Πρβ. καὶ *ὁμοβώμιος - σύμβωμος*. Ὁ Σουΐδας γράφει «*Ὁμωχέτας*: Θουκυδίδης τοὺς συννάους θεοὺς καὶ ὁμωροφίους· Βοιωτικὴ δὲ ἡ λέξις. *Ὁμωχέτας δαίμονας*: τοὺς συμμετέχοντας τῶν αὐτῶν ναῶν καὶ τῶν αὐτῶν ἱερῶν». Πρβ. καὶ Φώτ. Λεξ. σελ. 335, 23 καὶ Σχολ. Θουκυδ. Δ', 97. Ἴδε Λοβέκκιον ἐν *Προλεγομ.* σελ. 375 καὶ Σμιδίτιον εἰς *Ἡσύχ.* Τόμ. Γ', σελ. 207.

ὁμόστοιχος - σύστοιχος.

ὁμότεχνος - σύντεχνος. Πρβ. καὶ *ἀντίτεχνος*.

ὁμόπλους (ὅθεν *ὁμοπλοῶ*) - *σύμπλους*. Πρβ. καὶ *ὁμοπλωτήρ - συμπλωτήρ*.

ὁμόδρομος - σύνδρομος. Πρβ. καὶ *ὁμοδρομῶ - ὁμοδρομία* καὶ *συνδρομάς*.

Ὑπὸ τοῦ Αἰσχύλου ἐλέχθη ἐν Χοηφόροις στίχ. 599 «συζύγους δ' *ὁμαυλίας* κτέ.», δηλοῦται δ' ὑπὸ τοῦ *ὁμαυλία* ὁμοία ἔννοια τῷ *συναυλία*, περὶ οὗ ἐγένετο λόγος ὑφ' ἡμῶν ἐν τοῖς ἔμπροσθεν (σελ. 94). Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου φέρεται «*Συνθυμεῖν*: συμπείθεσθαι» καὶ ἐν τῷ τοῦ Φωτίου σελ. 555, 3 «*Σύνθυμοι (συνθυμεῖν)*: συμπείθεσθαι. Οὕτως Ἐπίχαρμος». Εἶνε δὲ τὸ *συνθυμεῖν* ἰσοδύναμον τῷ *ὁμόθυμον εἶναι*. Πρβ. καὶ *ὁμόψυχος - σύμψυχος*. Ἐν τῷ Λεξικῷ τοῦ Σουΐδα κεῖται «Συνθυμεῖν : — συμψυχεῖν». Πρβ. καὶ Βαλκενάριον ἐν *Select. e. Schol. in Libr. quosd. Nov. Test.* Τόμ. Α', σελ. 393.

Ἄξιον μνείας νομίζομεν τὸ ὑπὸ τοῦ Ξενοφῶντος εἰρημένον ἐν τῷ περὶ Πόρων κεφ. Ε', 9 «εἰ καὶ πάντας τοὺς Ἕλληνας *ὉΜΟγνώμονάς* τε καὶ *ΣΥΝόρκους* καὶ συμμάχους λάβοιτε ἐπ' ἐκείνους». Οὐδὲν νῦν λέγομεν περὶ τοῦ *ὁμογνώμων - συγγνώμων* οὐδὲ περὶ τοῦ *ὁμώνυμος - συνώνυμος* οὐδὲ περὶ τοῦ *ὁμοπαθής - συμπαθής*.

Περὶ τοῦ ῥήματος *ὁμολογῶ*, ἀνθ' οὗ λέγεται ποιητικῶς *ὁμορροθῶ*, ὡς *κακορροθῶ* ἀντὶ τοῦ *κακολογῶ*, παρατηροῦμεν ὅτι συνωνυμεῖ τῷ

σύμφημι. Πρβ. καὶ *ὁμοφωνῶ* - *συμφωνῶ* - *συναινῶ*. Ἐν τῇ Κύρου Παιδείᾳ τοῦ Ξενοφῶντος βιβλ. Δ', ε', 26 φέρεται «ἵνα εἰδὼς αὐτὰ *ὁμολογῇς*, ἐάν τί σε πρὸς ταῦτα ἐρωτᾷ» καὶ 34 «ταύτην αὐτῷ ἀπόδος· καὶ ὅτι ἄν σε τούτων ἐρωτᾷ—*σύμφαθι*». Λέγει δ' ὁ συγγραφεὺς οὗτος καὶ ἐν τοῖς Ἑλληνικοῖς βιβλ. Ε', β', 5 «*ὡμολόγουν* περιαιρήσειν—*συνέφασαν* καὶ ταῦτα ποιήσειν» καὶ ἐν τοῖς Ἀπομνημονεύμασι βιβλ. Γ', η', 9 «τούτου δὲ *ὁμολογουμένου*—ἐπειδὴ δὲ καὶ τοῦτο *συμφαίεν*». Πρβ. καὶ βιβλ. Β', β', 3 «*συνωμολόγει*—*συνέφη* καὶ τοῦτο».

Ὅμοιον κατ' ἔννοιαν τῷ μὲν *ὁμόφρων* εἶνε τὸ *κοινόφρων*, περὶ οὗ ἴδε Ἑρουερδῆνα ἐν τῇ ἐκδόσει τοῦ Εὐριπίδου Ἴωνος σελ. 152, τῷ δ' *ὁμότιμος* τὸ *ἰσότιμος*. Πρβ. Ἰλ. Ν,704 «*ἶσον* θυμὸν ἔχοντε» καὶ Ρ, 720 «*ἶσον* θυμὸν ἔχοντες» καὶ Ι,318 «*ἴση* μοῖρα μένοντι καὶ εἰ μάλα τις πολεμίζοι· ἐν δὲ *ἰῇ* τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός· κάτθαν' *ὁμῶς* ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς»· ἔτι δὲ *ὁμοῦ τινι* καὶ *σύν τινι* καὶ «τὰ δ' ἄλλα τεύχη *κοίν' ἐμοὶ* τεθάψεται» (Σοφοκλ. Αἴ. 577. Ἴδε Βλαϋδέσιον εἰς *Αἴ*. σελ. 132. Ἔτι δὲ Φούγκιον ἐν *Κουρτ. Μελετ.* Τόμ. Ι', σελ. 172). Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου φέρεται «Ὁμηγόροι: *ἰσΙγοροι*, ἐν ταὐτῷ συνήγοροι». Τὴν ὀρθὴν γραφὴν βλέπει τις παρὰ τῷ Πολυδεύκει βιβλ. ς', 174 «*ἰσΗγορος*, ἰσηγορία». Ἂν δ' εἶνε ὀρθὴ ἡ προπαροξύτονος ἐκφορὰ *ἰσήγορος* θὰ ἐξετάσωμεν ἑτέρωθι. Ἐσχηματίσθη καὶ ἐπίθετον *κοινόβιος* συνωνυμοῦν τῷ *σύμβιος*. Πρβ. καὶ *κοινόβιον*, ὅθεν *κοινοβιακός* καὶ *κοινοβιώτης* καὶ *κοινοβιάρχης*. Πτολεμ. Τετραβ. σελ. 119, 24 «προσφιλεῖς καὶ *κοινοβίους*» καὶ Ἰάμβλιχ. περὶ τοῦ Πυθαγορ. Βί. 29 «ἀλλὰ καὶ τὸ λεγόμενον *κοινοβίους* — γενομένους». Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους βιβλ. ς', 159 κεῖται «Εὔπολις δὲ *συμβίοτοι*, συμπάροικοι καὶ συνήλικες εἶπε». Ὑπάρχει δὲ καὶ γραφὴ «*συμβίωτε*, συμπάροικε». Ὁ Μεινέκιος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β', σελ. 497 ἔγραψε *συμβίωτοι*, ὅπερ οὐδαμῶς ἀποδεκτόν. Πρβ. *μακρόβιος* - *μακροβίοτος*, *εὔβιος* - *εὐβίοτος*, *θαλασσόβιος* - *θαλασσοβίοτος* (οὐχὶ *θαλασσοβίΩτος*). Ἀποφαίνεται δ' ὁ Κόβητος ὅτι πλημμελῶς ἔχει ἡ διὰ τοῦ Ω ἐκφορὰ *ἀποχειροβίΩτος*, ἐπάναγκες δ' εἶνε νὰ γράφηται *ἀποχειροβίΟτος* διὰ τοῦ Ο (ἐν *Μνημοσ*. 1875, σελ. 292 καὶ 408 καὶ 1881, σελ. 368).

Ὁ Ἀθανάσιος λέγει Τόμ. Β', σελ. 290 «τὸ ὁμοούσιόν ἐστι τὸ *ταυτοούσιον*». Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Ἐπιφανίῳ Τόμ. Γ', σελ. 373, 6 «καὶ οὐ λέγομεν *ταυτοούσιον*, ἵνα μὴ ἡ λέξις παρά τισι λεγομένη Σαβελλίῳ ἀπεικασθῇ». Εὑρέθη δὲ καὶ τύπος *ταυτούσιος*. Πρβ. καὶ *ὁμόσημος* καὶ *ταυτόσημος* ἢ *ταυτοσήμαντος*· ἔτι δὲ *ταυτοπάτωρ*, *ταυτόφωνος* - *ταυτοφωνία*, *ταυτοδύναμος* - *ταυτοδυναμῶ*, κτλ. Κακῶς παρὰ Μιχαὴλ τῷ Ἀκομινάτῳ Τόμ. Α', σελ. 31, 16 εἶνε γεγραμμένον «ἐκεῖνος τὸν Χριστὸν τὴν *ταὐτοαλήθειαν* ἔχων ἐν ἑαυτῷ λαλοῦντα» ἀντὶ τοῦ *αὐτοαλήθειαν*. Πρβ. σελ. 102, 29 καὶ 304, 18: *αὐτοσοφίαν* - *αὐτοσοφία* καὶ σελ. 132, 28: *αὐτοζωῆς* καὶ σελ. 299, 22: *αὐτοσεμνότητος* καὶ Τόμ. Β', σελ. 343, 5. Ἐλέχθη δὲ καὶ *ταυτοκλινής* ὑπὸ τοῦ Στράβωνος. Εἶνε δὲ τὰ τοιαῦτα ἀλλότρια τοῦ ἀρχαίου ἑλληνισμοῦ, παλαιότατον δὲ πάντων δύναται νὰ ὑποληφθῇ τὸ ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθὲν (Τόμ. Β', σελ. 101, 14) *ταυτοποιεῖ*. Εἶπε δ' ὁ Σταγιρίτης καὶ *ταυτότης* (Πρβ. *ἑνοποιός* - *ἑνοποιῶ* καὶ *ἑνότης*). Καὶ τὸ ῥῆμα *ταυτίζω* - *ταυτίζομαι* ἄγνωστον ὑπῆρχε τοῖς δοκίμοις, παρέχουσι δ' ἡμῖν αὐτοῦ μαρτύρια ὁ Θεμίστιος καὶ ὁ Πρόκλος καὶ ἄλλοι. Καὶ τὸ *τευτάζειν* ἐνομίσθη παράγωγον τοῦ *ταὐτό* δηλοῦν κατ' Αἴλιον Διονύσιον παρ' Εὐσταθ. σελ. 968, 4 «τὸ ἐπὶ πολὺ προσεδρεύειν *τῷ αὐτῷ* πράγματι». Μνημονεύεται δ' ἐν τῷ Λεξικῷ τοῦ Φωτίου καὶ γραφὴ *τετΑυτακότι* ἀντὶ τοῦ *τετΕυτακότι* σελ. 583, 21 καὶ ῥῆμα *τΑυτάζειν* σελ. 571, 16 «*Ταυτάζειν*: στραγγεύεσθαι, ἐπὶ πολὺ διατρίβειν ἐν τῷ αὐτῷ» (Ἴδε Ναβῆρον εἰς *Φωτ. Λεξ.* Τόμ. Β', σελ. 210. Πρβ. καὶ Εὔδηνα ἐν *Leipz. Stud.* Τόμ. Η', σελ. 221 κέξ.). Ὁ διὰ τοῦ Α προενηνεγμένος τύπος φαίνεται ὅτι εἶνε ἐτυμολογικὸν πλάσμα· ἀδυνατοῦμεν δὲ νὰ πείσωμεν ἡμᾶς αὐτοὺς ὅτι τὸ *τευτάζω* ἐγένετο ἐκ τοῦ *ταὐτό* ἢ *ταὐτά*. Σημειωτέον δ' ὅτι παρὰ τῷ Πολυβίῳ καὶ ἄλλοις φέρεται ῥῆμα *ταυτολογῶ* οὐδαμῶς συνωνυμοῦν τῷ *ὁμολογῶ* ἀλλὰ σημαῖνον *ἐπαναλαμβάνω τὰ αὐτά*. Ὑπὸ τῶν παλαιῶν Ἑλλήνων ἐγίνετο χρῆσις τοῦ *τὰ αὐτὰ* ἢ *ταὐτὰ λέγω*, ὡς ὑπὸ τοῦ Πλάτωνος ἐν τῷ Γοργίᾳ σελ. 490 ε' «Καλλ. Ὡς ἀεὶ *ταὐτὰ λέγεις*, ὦ Σώκρατες. Σωκρ. Οὐ μόνον γε, ὦ Καλλίκλεις, ἀλλὰ καὶ περὶ τῶν τῶν αὐτῶν» καὶ σελ. 491 β' καὶ ὑπὸ τοῦ Ξενοφῶντος ἐν τοῖς Ἀπομνημονεύμασι βιβλ. Δ', δ', 6 «Ἔτι γὰρ σύ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα *τὰ αὐτὰ λέγεις* —; Καὶ ὁ Σωκράτης, ὃ δέ γε τούτου δεινότε-

ρον, ἔφη, ὦ Ἱππία, οὐ μόνον ἀεὶ *τὰ αὐτὰ λέγω* ἀλλὰ καὶ περὶ τῶν αὐτῶν· σὺ δ' ἴσως — οὐδέποτε *ταὐτὰ λέγεις*». Ὁ Λ. Δινδόρφιος ἀποφαίνεται ἐν τῇ ἐκδόσει τῶν Ἀπομνημονευμάτων (σελ. 175) ὅτι ὁ Ξενοφῶν ἔγραψε κατὰ συναλοιφὴν *ταὐτά*. Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Β΄, σελ. 84, 25 κεῖται «καὶ κυκλικῶς *ταυτολογεῖται*» καὶ μετ' ὀλίγα «πρὸς τί οὖν *παλιλλογεῖται* κτέ.;». Τίς δ' ἀγνοεῖ τὸ Ὁμηρικὸν «ἐχθρὸν δέ μοί ἐστιν *αὖτις* ἀριζήλως εἰρημένα *μυθολογεύειν*»;

Τὴν αὐτὴν τῷ ὉΜΟ ἔννοιαν ἐμφαίνει τὸ ἀθροιστικὸν καλούμενον Α καὶ τὸ Ο, οἷον *ἀκοίτης - ἄκοιτις, ἄλοχος*, κτλ. *ἀγάστωρ* καὶ *ὀγάστωρ, ὄθριξ*, κτλ.

Πλάτ. Κρατ. σελ. 405 γ΄ «ὅτι τὸ *ἄλφα* σημαίνει πολλαχοῦ τὸ *ὁμοῦ*» καὶ μετ' ὀλίγα «ὥσπερ οὖν τὸν ὁμοκέλευθον καὶ ὁμόκοιτιν *ἀκόλουθον* καὶ *ἄκοιτιν* ἐκαλέσαμεν μεταβαλόντες ἀντὶ τοῦ ὉΜΟ ἄλφα, οὕτω καὶ Ἀπόλλωνα ἐκαλέσαμεν, κτέ.». Φέρεται δὲ καὶ ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις σελ. 316, 17 «Δηλοῖ γὰρ τὸ Α τὸ *ὁμοῦ*, ὡς ἐπὶ τοῦ *ἀκόλουθος*, ὅ ἐστιν ὁμοκέλευθος — Οὕτω δὲ καὶ *ἄλοχος* καὶ *ἄκοιτις*». Πρβ. καὶ Ἀν. Βέκκ. σελ. 808, 13 καὶ σελ. 809, 6.

Πολυδεύκ. Β΄, 221 «ὃ μήτραν καλοῦσι καὶ ὑστέραν καὶ δελφύν, ἀφ' ἧς καὶ *ἀδελφοὶ* οἱ ἐν τῇ αὐτῇ μήτρᾳ συστάντες, ὡς *ἄλοχος* παρὰ τοῖς ποιηταῖς ἡ ἐπὶ τὸ αὐτὸ λέχος ἀναβαίνουσα καὶ *ἄκοιτις* ἡ τῆς αὐτῆς κοίτης μετέχουσα».

Εὐστάθ. σελ. 1479, 28 «Ἄλλῳ δὲ λόγῳ *ἀλέκτωρ* καὶ ἡ ὁμόλεκτρος, καθὰ καὶ *ἀγάστωρ* ὁ ὁμογάστριος» καὶ σελ. 340, 30 «Τὸ δὲ *ὄτριχας* συγκέκοπται μὲν ἐκ τοῦ ὁμοιότριχας, ψιλοῦται δὲ διὰ τὸ ἐπαγόμενον Τ» καὶ σελ. 843, 7 «Ἐν δὲ τῷ κασίγνητον καὶ *ὄπατρον* γενικὴ μὲν λέξις ὁ κασίγνητος, εἰδικὴ δὲ ὁ *ὄπατρος* λεχθεῖσα πρὸς διαστολὴν τῶν μὴ τοιούτων — Ἔστι δὲ *ὄπατρος* ὁ ὁμόπατρος ἀντιδιαιρούμενος τῷ ὁμομητρίῳ. Εἰ δὲ ὤφειλεν οὕτω δασύνεσθαι ἡ ἄρχουσα ἐκ τοῦ ὁμοῦ, ἀλλὰ ψιλοῦται ἄλλως, διότι τὸ Ο πρὸ τοῦ Π οὕτω πάσχει — Τὸ δὲ λέγειν ὡς ἡ συγκοπὴ ἐψίλωσεν αὐτὸ οὐ πάνυ ἀσφαλές· οὐ γὰρ πάντα δι' αὐτὴν ψιλοῦνται» (Πρβ. καὶ Σχολ. Ἰλ. Τόμ. Α΄, σελ. 384, 23 καὶ Ἐτυμ. Μέγ. σελ. 627, 33). Ἡσύχ. «*Ἀγάστορες*: ἀδελφοὶ δίδυμοι» καὶ «*Ὀγάστωρ*: ὁμογάστωρ» καὶ «*Ὄζυγες*: ὁμόζυγες» καὶ «*Ὄπατρον*: τὸν ἐκ τοῦ αὐτοῦ πατρός» καὶ

«*Ὄπατρος*: ὁ ἐκ τοῦ αὐτοῦ πατρός τινι γεγονὼς ἀδελφός» καὶ «*Ὄτριχας*: ὁμοιότριχας». Ἐτυμ. Μέγ. σελ. 6, 20 «*Ἀγαστόρων*: τῶν ὁμογαστόρων, τῶν ἀδελφῶν. Λυκόφρων· τὸν φίλτατόν σου τῶν ἀγαστόρων τρόφιν» καὶ σελ. 637, 21 «*Ὄτριχας*, οἰετέας: οἱονεὶ ὁμοετίας καὶ ὁμοιότριχας καὶ κατὰ συγκοπὴν ὄτριχας». Λεξ. περὶ Πνευμ. σελ. 232 «*Ὀετής* ὁ ὁμοετὴς κατὰ συγκοπήν, ὡς καὶ *ὄπατρος* ὁ ὁμόπατρος» (Πρβ. Βαλκενάριον ἐν *Select. e Schol. in Libr. quosd. Nov. Test.* Τόμ. Β', σελ. 34). Ἐλέχθη δὲ καὶ *ὀπάτριος* ὑπὸ τοῦ Λυκόφρονος στίχ. 452 «ὡς *ὀπατρίου* φονεὺς πώλου» (Ἴδε Βαχμαννὸν εἰς *Λυκόφρ.* σελ. 111 κέξ.). Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ε', σελ. 2075 φέρεται «Ὀπάτωρ, ρος, ὁ, pro ὁμοπάτωρ, Dosiades Anth. Pal. 15, 26, 7». Οὐχὶ *ὀπάτωρ* ἢ *ὀπάτωρ* ἔγραψεν ὁ Δωσιάδας ἀλλ' *ὠπάτωρ*, τουτέστιν *ὁ ἀπάτωρ* (Ἴδε Δυβνῆρον ἐν τῇ ἐκδόσει τῆς Παλατίνης Ἀνθολογίας Τόμ. Β', σελ. 524).

Οὐδαμῶς τις σφάλλεται λέγων ὅτι τὸ Ο ἰσοδυναμεῖ τῷ ὉΜΟ, ἀλλ' ἄτοπον εἶνε νὰ ὑπολαμβάνηται ὅτι τὸ *ὄπατρος* καὶ *ὀγάστωρ*, κτλ. ἐσχηματίσθησαν κατὰ συγκοπὴν ἐκ τοῦ *ὁμόπατρος* καὶ *ὁμογάστωρ*, κτλ. Καὶ περὶ τοῦ *οἰέτης* ἐδοξάζετο ὑπό τινων τὸ πάλαι, ὡς δηλοῦται ἐξ ὧν ἐγράψαμεν ἐν τοῖς ἔμπροσθεν (σελ. 149), ὅτι ἐγένετο κατὰ συγκοπὴν ἐκ τοῦ *ὁμοέτης*, οἷον *ὁμοέτης - ὀέτης - οἰέτης*. Εὐλόγως δὲ συγγενῆ νομίζονται τὸ ἀθροιστικὸν Α καὶ τὸ Ο εἰς τὴν αὐτὴν ῥίζαν ἀναφερόμενα, ἐξ ἧς προῆλθον τὸ *ἅμα* (*ἍΜΟΣ*) καὶ τὸ *ὁμοῦ* (*ὁμός*).

Ἐν τοῖς εἰς Θουκυδίδην Σχολίοις Ζ', 78 φέρεται «*Ἄπεδον*: ὁμαλόν, *ὁμόπεδον*, ὡς καὶ ἄλοχος ἡ ὁμόλΕχος», ἐν δὲ τοῖς εἰς Ἀριστοφάνη Ἀχαρν. 146 κεῖται «Ὁποίῳ τρόπῳ λέγομεν *ἄλοχον* τὴν ὁμόλεκτρον καὶ *ἄκοιτιν* τὴν ὁμόκοιτον, οὕτω καὶ Ὁμοπατόρια *Ἀπατόρια*». Περὶ τοῦ *ἄπεδον* ἴδε Ἰ. Σμιδίτιον ἐν *Synonym. d. Griech. Spr.* Τόμ. Γ', σελ. 66. Ὑπὸ τοῦ Ἡσυχίου μνημονεύεται καὶ ῥῆμα «*Ἀπεδίζειν*: ὁμαλίζειν».

Ὁ σοφιστὴς Ἀπολλώνιος γράφει σελ. 1, 5 «Ὁμοῦ, οἷον *ἀδελφός* ὁ ὁμόδελφος καὶ *ἀκόλουθον* τὸ ὁμοκέλευθον» καὶ σελ. 1, 8 «Τὸ δὲ ἴσον καὶ ὅμοιον, ὅταν οἱ ποιηταὶ τὴν ἰσολεχῆ καὶ ὁμόκοιτον *ἄλοχον* καὶ *ἄκοιτιν* καλῶσιν». Πρβ. καὶ Εὐστάθ. σελ. 196, 27 «*Ἀτάλαντος* δὲ ὁ οἷον ἰσόσταθμος· τὸ Α μὲν γὰρ ἐνταῦθα ἰσότητα δηλοῖ κατὰ

τοὺς παλαιοὺς ἢ ὁμοιότητα, ὡς καὶ ἐν τῷ *ἀδελφός*». Σημειωτέον δ' ὅτι τοῦ τύπου *ὁμόδελφος* ἐποιήσατο χρῆσιν ὁ Καλλίμαχος Ἀποσπ. 168 «Εἰνατίην *ὁμόδελφον* ἐπ' ὠδίνεσσιν ἰδοῦσα» (Ἴδε Κόβητον ἐν *Μνημοσ*. 1861, σελ. 415). Ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις Βατρ. 756 ἀπαντᾷ «ἀντὶ τοῦ εἰπεῖν ὁμόγνιος, ὡς ἔμπροσθεν, ἢ *ὁμάδελφος*, εἶπεν ὁμομαστιγίας, οἷον ὁμόδουλος».

Ἀλλ' ἀκριβῶς περὶ τοῦ ἀθροιστικοῦ καλουμένου Α καὶ τοῦ Ο θὰ διαλάβωμεν ἐν ἑτέρῳ τόπῳ ποιούμενοι λόγον καὶ περὶ τοῦ *ἀγάλαξ*-*ἀγάλακτες*-*ἀγαλακτοσύνη* καὶ τοῦ *ἀθρόος (ἀθρόος)* καὶ τοῦ *ἀελλὴς* καὶ *ἀολλής* καὶ τοῦ *ἀέλιος* καὶ τοῦ *Ἀδρυάδες* καὶ ἄλλων. Ὁ Ἀσώπιος γράφει ἐν τῇ Δευτέρᾳ Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 567, § 41 ἐκδ. β' «Διάφορον δὲ βεβαίως εἶναι τὸ *ἀθροιστικὸν ἄλφα*, ὡς *ἅπας* = ἅμα πᾶς, *ἄλοχος* = ἀμάλοχος ἢ ὁμόλοχος, *ἄκοιτις* = ὁμόκοιτος, *ἀδελφὸς* ὁ ἐκ τῆς αὐτῆς δελφύος ἤτοι μήτρας γεγεννημένος κτλ.» (Πρβ. Λοβέκκιον ἐν *Στοιχ*. Τόμ. Α', σελ. 41 κέξ. καὶ Δονάλσωνα ἐν *Νέ. Κρατ*. σελ. 342 ἐκδ. γ'). Ἄνευ ἀνάγκης ἐπλάσθη τὸ *ἀμάλοχος*. Σύνθετα ἐκ τοῦ *ἅμα* μνημονεύονται ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου σελ. 878, 21 «Καὶ ὁ Παυσανίας δὲ εἰπὼν καὶ αὐτὸς τὸ μὲν ἅμα χρονικόν, τὸ δὲ ὁμοῦ καὶ χρονικὸν καὶ τοπικὸν παρατίθησι καὶ ὅτι *ἀμάμηλις* σῦκον τὸ ἅμα τῷ μήλῳ ἀνθοῦν καὶ μῆλον *ἀμάσυκον* τὸ ἅμα σύκῳ ἀνθοῦν. Ἕτεροι δέ, εἰπόντες *ἀμάμηλιν* τὰς ἀπίους παρὰ Ἀττικοῖς λέγεσθαι, φασὶ καὶ *Ἁμαδρυάδας* νύμφας, αἳ ἅμα δρυσὶ γίνονται καὶ ἀπογίνονται». Ἀλλὰ δὲν εἶνε καιρὸς νῦν νὰ ἐπεξέλθωμεν μετ' ἀκριβείας τὰ τοιαῦτα.

Τῷ *ὁμομήτριος* καὶ *ὁμομήτωρ* ἀντιδιαιρεῖται τὸ *ἀμφιμήτριος* καὶ *ἀμφιμήτωρ*. Εὐστάθ. σελ. 410, 30 «Καὶ ὅτι τοὺς αὐτοκασιγνήτους ἑρμηνεύουσά φησιν· οὕς μοι μία γείνατο μήτηρ· πρὸς οὓς δηλαδὴ γνησιώτερον οἱ πολλοὶ διάκεινται ὥσπερ (γρ. *ἤπερ)* πρὸς τοὺς ὁμοπατρίους μέν, *ἀμφιμητρίους* δέ, ὡς δηλώσει που καὶ ἐν τοῖς ἑξῆς τὸ ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι. Αἰτία δὲ τοῦ φιλεῖσθαι μάλιστα τοὺς τοιούτους, διότι, φασί, τοὺς μὲν ὁμογαστρίους ἴσασιν ἀδελφοὺς οἱ ἄνθρωποι, τοὺς δὲ *ἀμφιμητρίους* οἴονται». Ἡσύχ. «*Ἀμφιμήτωρ*: ὁμοπάτριος ἀλλ' οὐχ ὁμομήτριος» καὶ «*Ἀμφιμήτορες*: οἱ ἐκ πολλῶν μητέρων γεγονότες ἀδελφοί. Αἰσχύλος Ἡρακλείδαις» (Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 91, 3 καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Γ', σελ.

194, 23. Ἴδε καὶ Ναύκιον ἐν τῇ συλλογῇ τῶν Ἀριστοφάνους τοῦ Βυζαντίου σελ. 132). Τοῦ *ἀμφιμήτορες* ἐποιήσατο χρῆσιν, ὡς εἴπομεν ἐν τοῖς ἔμπροσθεν (σελ. 23), καὶ ὁ Εὐριπίδης Ἀνδρομ. 465 «*ἀμφιμάτορας* κόρους». Σχολ. «τοὺς ἐκ διαφόρων μητέρων, ἐξ ἑνὸς δὲ πατρός».

Ὁ Σουΐδας λέγει «Ἀμφιμήτωρ: ὁ *ἑτερομήτωρ*. Αἰσχύλος». Κεῖται δὲ καὶ ἐν τοῖς εἰς Ἀπολλώνιον τὸν Ῥόδιον Σχολίοις Δ', 223 «ἐν δὲ τοῖς Σκύθαις ὁ Σοφοκλῆς *ἑτερομήτορα* τῆς Μηδείας τὸν Ἄψυρτον λέγει». Ὁ Φρύνιχος ἐν τῇ Σοφιστικῇ Προπαρασκευῇ σελ. 6, 24 ἐξηγεῖται τὸ *ἀμφιμήτωρ* διὰ τοῦ *ὁ ἐξ ἑτέρας μητρὸς ἀδελφός*.

Συνήθως δὲ πρὸς λέξεις, ὧν τὸ πρῶτον μέρος εἶνε *ὉΜΟ*, ἀντιδιαστέλλονται σύνθετοι ἐκ τοῦ *ἕτερος* ἢ καὶ ἐκ τοῦ *ἄλλος*, οἷον

ὁμόδοξος - *ἑτερόδοξος* - *ἀλλόδοξος* καὶ *ὁμοδοξῶ* - *ἑτεροδοξῶ* - *ἀλλοδοξῶ*. Πολυδεύκ. Ϛ', 117-8 «ὁμογνωμονῶ, *ὁμοδοξῶ* — διέστηκα τῇ γνώμῃ, διχογνωμῶ, *ἀλλοδοξῶ*, *ἑτεροδοξῶ*».

ὁμογενής - *ἑτερογενής* - *ἀλλογενής* καὶ *ὁμοεθνής* - *ἑτεροεθνής* - *ἀλλοεθνής* καὶ *ὁμόφυλος* - *ἑτερόφυλος* - *ἀλλόφυλος*. Πρβ. Πολυδεύκ. Γ', 54 «τὸ δὲ ἐναντίον ξένος, ἀλλοδαπός, ἀλλότριος, ἀλλοεθνής, ἀλλόφυλος, *ἀλλόδημος*, ἀλλόγλωσσος». Λέγεται καὶ *ἀλλοδημία*. Εὑρέθη δὲ καὶ «ἐκς *ἀλλοπολίας*» (Ἐπιγρ. Γορτ. Ϛ', 47, σελ. 107 Βαυν.).

ὁμόγλωσσος - *ἑτερόγλωσσος* - *ἀλλόγλωσσος* καὶ *ὁμόθροος* - *ἑτερόθροος* - *ἀλλόθροος*. Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Γ', σελ. 220, 14 φέρεται «Εἰκότως τὸ βάρβαρον θορυβεῖ μᾶλλον, *ἑτερόγλωσσον* ὄν· ὃ γὰρ μή ἐστιν *ὁμόφωνον*, τοῦτο ἀνάγκη θορυβεῖν». Πρβ. καὶ *ἑτερόφωνος* - *ἀλλόφωνος*.

ὁμοειδής - *ἑτεροειδής* καὶ *ὁμοφυής* - *ἑτεροφυής* καὶ *ὁμοσχήμων* - *ἑτεροσχήμων*. Πρβ. καὶ *ἀλλοειδής* - *ἀλλοφυής*, περὶ ὧν ἀλλαχοῦ, ὡς καὶ περὶ τοῦ *ἀλλοφρονῶ* καὶ ἄλλων τοιούτων.

ὁμογάστωρ καὶ *ὁμογάστριος* - *ἑτερογάστριος*.

ὁμώνυμος - *ἑτερώνυμος*. Πρβ. καὶ *ἑτερωνυμία* καὶ *ἑτερωνύμως*. Ἀλλὰ περὶ τούτων θὰ εἴπωμεν τὰ δέοντα ἑτέρωθι ἐξετάζοντες τὸ *ὁμώνυμος* - *συνώνυμος*.

ὁμόφρων - *ἑτερόφρων* καὶ *ὁμογνώμων* - *ἑτερογνώμων*. Πρβ. καὶ *μονογνώμων* - *ἰδιογνώμων*.

ὁμόχρους (-*χρως*) - *ἑτερόχρους* (-*χρως*) - *ἀλλόχρους* (-*χρως*).

Σαφῶς, νομίζομεν, ἐδιδάχθη τίς μάλιστα λέξις παρελαμβάνετο ὑπὸ τῶν Ἑλλήνων ἐν συνθέσει πρὸς δήλωσιν τῆς ταυτότητος· ἱκανῶς δ' ἐνεφανίσθη ἡ τοῦ ὉΜΟ καὶ ΣΥΝ κατὰ σημασίαν ὁμοιότης καὶ ἡ τοῦ ὉΜΟ καὶ τοῦ ἀθροιστικοῦ Α καὶ Ο ἰσοδυναμία· παρετηρήθη δὲ καὶ διὰ τίνων λέξεων ἐξεφέρετο ἐν συνθέσει ἡ ἐναντία ἔννοια. Οὕτω δ' ἐπερατώθη ἡ πραγματεία ἡμῶν, ἥτις εἶνε τὸ ΠΡΩΤΟΝ ΜΕΡΟΣ τῶν ΠΟΙΚΙΛΩΝ ΦΙΛΟΛΟΓΙΚΩΝ.

Σημειώσεις καὶ προσθῆκαι.

Σελ. 21, 8. Ἐν ἅπασι τοῖς ἀντιγράφοις τοῦ Ψευδορφέως φέρεται ὑπ' οὐατίοις, ἀνέγνω δ' ὑπουατίοις ὁ Γεσνῆρος, ὃ καὶ ὑπ' ἄλλων ἐνεκρίθη. Ὁ Rosenboom δ' ὅμως ἐν *Dissert. Phil. Hal.* Τόμ Θ', σελ. 113 κἑξ. μεταγράφει ἐπουατίοις.

Σελ. 27, 10. Ὁ στίχος οὗτος προηνέχθη ὡς εἶνε γεγραμμένος ὑπὸ τοῦ Καρ. Μυλλήρου ἐν Ἀποσπ. Ἱστορ. Ἑλλ. Τόμ. Α', σελ. 456. Ἀλλ' ἐν τῇ ὑπὸ τοῦ Κισλιγγίου γενομένῃ ἐκδόσει τῶν Ἱστοριῶν τοῦ Τζέτζου ἀντὶ τοῦ ΤΕ κεῖται ΔΕ. Πολλάκις δ' ἐν ταῖς Ἱστορίαις ταύταις γίνεται χρῆσις τοῦ ΚΑΙ—ΔΕ, οἷον Η',768 καὶ 962 καὶ Θ', 307 καὶ ἀλλαχοῦ. Παντὶ δὲ φανερὸν ἀποβαίνει ὅτι πρὸς ἀπαρτισμὸν τοῦ στίχου εἶνε τὸ μόριον ΔΕ παρειλημμένον. Σημειωτέον προσέτι ὅτι ἄλλοι μὲν γράφουσι στεγανόποδες καὶ στερνόφθαλμοι, κτλ., ἄλλοι δὲ Στεγανόποδες καὶ Στερνόφθαλμοι, κτλ. ὡς ἐθνικὰ ὀνόματα. Πρβ. Τζέτζ. Ἱστορ. Η', 749 Κισλ. «τῶν Στρουθοφάγων, Ἀπαθῶν καὶ τῶν Ἰχθυοφάγων, τῶν Ὑλοφάγων καὶ λοιπῶν, ὧνπερ μυρίαι κλήσεις» καὶ Ἱπποκρ. Τόμ. Α', σελ. 267 Ἑρμ. «καὶ πρῶτον περὶ τῶν Μακροκεφάλων». Ὅμοια τούτοις εἶνε τὸ Ἀμάξοικοι, Μοσσύνοικοι, Μακρόβιοι, κτλ.

Σελ. 33, 3. Συνήθως γράφεται ὀφρύς - ὀφρύν ὀξυτόνως. Ἀλλὰ κατὰ τὸν Ἡρῳδιανὸν περισπωμένως ἐξεφέρετο τοῦτο τὸ ὄνομα καὶ τὸ ὈΣΦΥΣ, οἷον ὀφρῦς καὶ ὀσφῦς.

Τὸ πρᾶγμα θὰ ἐξετάσωμεν προσηκόντως ἐν ἑτέρῳ τόπῳ· θὰ διαλάβωμεν δ' εὐκαιρίας τυχόντες καὶ περὶ τοῦ ὥς - ὦ ς, οἱ αὐτῷ - οἱ αὐτῷ, ὦλεξίκακε - ὦ 'λεξίκακε καὶ περὶ ἄλλων.

Σελ. 36, 33. Περὶ τῆς γραφῆς ἐποιήσατο λόγον ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τῶν Παραλλήλων Βίων τοῦ Πλουτάρχου Μέρ. Α', σελ. 431.

Σελ. 37, 11. Πρβ. καὶ Δονάλσωνα ἐν τῷ νέῳ Κρατύλῳ σελ. 282 ἐκδ. γ'.

Σελ. 47, 30. Εἶνε παρατηρήσεως ἀξία ἡ κατὰ τὸν τόνον διαφορὰ τοῦ οὐδενός-μηδενός καὶ τοῦ οὐδένων (οὐδ' ὑφ' ἕνων) - μηδένων. Καὶ ἔχομεν μὲν νὰ εἴπωμέν τινα πρὸς ἐξήγησιν τῆς διαφορᾶς ταύτης, ἀλλ' εἰς ἄλλον καιρὸν τὸν περὶ αὐτῆς λόγον ἀναβαλλόμεθα.

Σελ. 52, 3. Νομίζει δ' ὁ Βέργκιος ὅτι καὶ ὑπὸ τοῦ Σόλωνος ἐγένετο χρῆσις τοῦ θάμα ἀντὶ τοῦ ἅμα (ἐν Ποιητ. Λυρ. Τόμ. Β', σελ. 38 ἐκδ. δ').

Σελ. 63, 4. Ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ ἐλέχθη καὶ αὐτοέν, ὡς καὶ αὐτοενάς, αὐτοδυάς, αὐτοτριάς, κτλ. Ἔτι δὲ καὶ αὐτοένωσις. Τὴν σύνθεσιν ταύτην μέλλομεν μετὰ πολλῆς ἀκριβείας ἐν οἰκείῳ τόπῳ νὰ ἐπεξέλθωμεν (Ἴδε τὰ ἐν σελ. 134 καὶ σελ. 181 γεγραμμένα).

Σελ. 67, 2. Ἐν Εἰδ. ΚΗ', στίχ. 13 ἀνεγινώσκετο κοινῶς «πέξαιντ' αὐτοετεί». Ἀλλ' ἐν τοῖς κώδιξι φέρεται καὶ αὐτοεντεί - αὐτοέντει· ὅθεν ὁ Βέργκιος ἔγραψεν αὐτοένει ὅπερ καὶ τῷ Ἀρηνσίῳ ἐγένετο ἀποδεκτὸν καὶ τῷ Μεινεκίῳ καὶ ἄλλοις (Ἴδε Φρίσχιον εἰς Θεόκρ. Τόμ. Β', σελ. 232). Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου κεῖται «ΔίεΝΝος: διέτης» καὶ «ΓεΝΝόν: ἀρχαῖον» (Ἴδε Κοίνιον εἰς Γρηγ. Κορ. σελ. 273 Σχαιφ.). Εἶνε δὲ τὸ γεννόν ἢ γέννον, ὡς παρετήρησεν ὁ Ἀρήνσιος ἐν τῷ περὶ Δωρικῆς Διαλέκτου συγγράμματι σελ. 54, Ϝέννον. Ἴδε καὶ Σμιδίτιον εἰς Ἡσύχ. Τόμ. Α', σελ. 423 καὶ Δονάλσωνα ἐν Νέ. Κρατ. σελ. 295 ἐκδ. γ'.

Σελ. 71, 29. Παρελείφθη τὸ: καὶ Τόμ. Β', σελ. 263, 5.

Σελ. 90, 13. Μετατυποῖ δ' ὁ Ναβῆρος ἐν τῇ Μνημοσύνῃ 1883, σελ. 33 καὶ τὸ ἐν τοῖς Βατράχοις στίχ. 78 «ἀπολαβὼν αὐτὸν μόνον» εἰς τὸ «ἀπολαβὼν μόνος μόνον».

Σελ. 94, 3. Προσθετέον τὸ: καὶ ὑπὸ Φίλωνος τοῦ Ἰουδαίου Τόμ. Ε', σελ. 101 «μηδὲν οὖν ἔξω τῶν κατ' οἰκονομίαν πολυπραγμονείτω γυνὴ ζητοῦσα μοναυλίαν».

Σελ. 94, 14. Ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ ἀπαντᾷ καὶ ὄνομα μονία δηλοῦν τὸν μονήρη βίον.

Σελ. 95, 6. Ἀντὶ τοῦ Ἀλκμάνους ὁ μὲν Κασαύβων ἔγραψεν Ἀλκμᾶνος, ὁ δ' Οὐέλκηρος Ἀλκμαίωνος. Τὸ ἀληθὲς εὗρεν ἴσως ὁ Μεινέκιος ἀναγνοὺς Ἀλκιμένους ἐν τῇ Κριτικῇ Ἱστορίᾳ τῶν Ἑλλήνων Κωμικῶν σελ. 101.

Σελ. 119, 19. Περὶ τοῦ μονομάτωρ (= ἡ μεμονωμένη τῆς μητρός) ἴδε Βαλκενάριον εἰς Εὐρ. Φοιν. Τόμ. Α', σελ. 444 Λιψ.

Σελ. 119, 20. Περὶ τῆς ἐτυμολογίας τοῦ μοῦνος-μόνος ἴδε Κούρτιον ἐν *Grundz. d. Griech. Etym.* σελ. 335 ἐκδ. ε' καὶ Βανισέκιον ἐν *Etymol. Wœrterb.* σελ. 674. Πρβ. καὶ Δονάλσωνα ἐν Νέ. Κρατ. σελ. 282 ἐκδ. γ'. Ὁ Δοιδερλῖνος ἐν τῷ Ὁμηρικῷ Γλωσσαρίῳ § 146 νομίζει ὅτι τὸ μοῦνος ἐγένετο ἐκ τοῦ μονύς κατὰ μετάθεσιν, ὡς τὸ γουνός καὶ δουρός ἐκ τοῦ γόνυος καὶ δόρυος. Εἶνε δὲ τὸ μονύς πλάσμα τοῦ Δοιδερλίνου, ἵνα μή τι δεινότερον εἴπωμεν. Ὁ Λ. Μευῆρος (ἐν *Vergleich. Gramm.* Τόμ. Α', σελ. 758 ἐκδ. β') γράφει μόνϜος, μόνϜωσε, κτλ.

Σελ. 134, 29. Προσθετέον τὸ: καὶ Θ, 293 «τί με σπεύδοντα καὶ αὐτὸν ὀτρύνεις;»

Σελ. 127, 4. Ἐξέπεσε τὸ: καὶ «ἀστοὶ νῦν γε περιεπτισμένοι».

Σελ. 143. 8. Ἐν τῷ Λεξικῷ τοῦ Γαζῆ Τόμ. Α', σελ. 324 κεῖται «Αὐτοπάμων, ονος, ὁ, ἡ (πέπαμαι). Ὁ μόνος κληρονόμος». Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου εἶνε γεγραμμένον «Αὐτόπομα: ἐπίκληρον». Τοῦτο δ' ὑπελήφθη ὑπὸ πολλῶν ἐσφαλμένη ἀνάγνωσις τοῦ αὐτοπάμονα.

Σελ. 176, 2. Περὶ τοῦ προκειμένου ἐποιήσατο λόγον καὶ

ὁ Κουμανούδης ἐν τῇ Συναγωγῇ Λέξεων Ἀθησαυρίστων σελ. 240 καὶ 395.

